GREEK SERIES · VOLUME 101

# Characters and Letters

Theophrastus · Alciphron · Aelian

# ΧΑΡΑΚΤΗΡΕΣ · ΕΠΙΣΤΟΛΑΙ

*Characters and Letters*

*With the Letters of Alciphron and Aelian*

---

with a word-for-word interlinear English translation

preserving the original word order




CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

Part of the source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License;
the remainder is in the public domain
creativecommons.org/licenses/by-sa/4.0




Volume 101 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Diels's Oxford Theophrastus, Meineke's Teubner Alciphron, and Hercher's Epistolographi Graeci for Aelian. One passage of Alciphron's Letters is omitted; […] marks it.

Theophrastus set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words the editors seclude are printed in square brackets and glossed with a dash; words they supply are printed without their brackets; ∗∗∗ marks a gap in the text.

# CONTENTS

## THEOPHRASTUS


Preface . . . . . 9
I · The Dissembler . . . . . 11
II · The Flatterer . . . . . 13
III · The Garrulous Man . . . . . 17
IV · The Boor . . . . . 19
V · The Complaisant Man . . . . . 21
VI · The Reckless Man . . . . . 24
VII · The Talker . . . . . 27
VIII · The Rumor-Monger . . . . . 30
IX · The Shameless Man . . . . . 33
X · The Petty Man . . . . . 35
XI · The Offensive Man . . . . . 38
XII · The Tactless Man . . . . . 40
XIII · The Officious Man . . . . . 42
XIV · The Stupid Man . . . . . 44
XV · The Surly Man . . . . . 46
XVI · The Superstitious Man . . . . . 48
XVII · The Grumbler . . . . . 51
XVIII · The Distrustful Man . . . . . 53
XIX · The Nasty Man . . . . . 55
XX · The Unpleasant Man . . . . . 57
XXI · The Man of Petty Ambition . . . . . 59

THEOPHRASTUS

*(continued)*

XXII · The Mean Man . . . . . 62
XXIII · The Boaster . . . . . 64
XXIV · The Arrogant Man . . . . . 67
XXV · The Coward . . . . . 69
XXVI · The Oligarch . . . . . 72
XXVII · The Late Learner . . . . . 75
XXVIII · The Slanderer . . . . . 77
XXIX · The Lover of Villains . . . . . 79
XXX · The Shabby Profiteer . . . . . 82

ALCIPHRON

Book I.1–12 · Fishermen . . . . . 89
Book I.13–28 · Fishermen, Parasites, and Farmers . . . . . 106
Book I.29–36 · Courtesans . . . . . 122
Book I.37–40 · Courtesans . . . . . 136
Book II.1–2 · Lamia and Leontion . . . . . 146
Book II.3–4 · Menander and Glycera . . . . . 155
Book III.1–14 · Fishermen, Parasites, and Farmers . . . . . 170
Book III.15–34 · Farmers . . . . . 187
Book III.35–47 · Farmers and Parasites . . . . . 205
Book III.48–57 · Parasites . . . . . 221
Book III.58–66 · Parasites . . . . . 236
Book III.67–74 · Parasites and a Farmer . . . . . 250
Fragments . . . . . 259

AELIAN

Letters 1–10 . . . . . 273
Letters 11–20 . . . . . 282

THEOPHRASTUS

# ΧΑΡΑΚΤΗΡΕΣ

*Characters*

# Προοίμιον

## PREFACE

*Theophrastus, ninety-nine years old, wonders why Greeks under one sky and one education differ so in character. Having watched good and bad men all his life, he writes for Polycles an account of each kind and how it conducts itself, so that our sons, with such memoirs left them, may choose the best company and not fall short of it. He will begin with dissembling, defining it first and then describing the dissembler.*

ἤδη μὲν καὶ πρότερον πολλάκις ἐπιστήσας τὴν διάνοιαν 1
*already indeed also before often having-fixed the mind*
ἐθαύμασα, ἴσως δὲ οὐδὲ παύσομαι θαυμάζων, τί γὰρ
*I-wondered perhaps and not-even I-shall-cease wondering why for*
δήποτε, τῆς Ἑλλάδος ὑπὸ τὸν αὐτὸν ἀέρα κειμένης καὶ
*ever — of-Greece under the same air lying and*
πάντων τῶν Ἑλλήνων ὁμοίως παιδευομένων, συμβέβηκεν
*all the Greeks alike being-educated it-has-happened*
ἡμῖν οὐ τὴν αὐτὴν τάξιν τῶν τρόπων ἔχειν.
*to-us not the same order of-the characters to-have*
ἐγὼ γάρ, ὦ Πολύκλεις, συνθεωρήσας ἐκ πολλοῦ χρόνου 2
*I for O Polycles having-observed-together from long time*
τὴν ἀνθρωπίνην φύσιν καὶ βεβιωκὼς ἔτη ἐνενήκοντα ἐννέα,
*the human nature and having-lived years ninety nine*
ἔτι δὲ ὡμιληκὼς πολλαῖς τε καὶ παντοδαπαῖς φύσεσι
*still and having-associated-with many both and manifold natures*
καὶ παρατεθεαμένος ἐξ ἀκριβείας πολλῆς τούς τε ἀγαθοὺς
*and having-observed-closely with precision much the both good*
τῶν ἀνθρώπων καὶ τοὺς φαύλους ὑπέλαβον δεῖν
*of-the men and the base I-supposed it-was-needful*
συγγράψαι, ἃ ἑκάτεροι αὐτῶν ἐπιτηδεύουσιν ἐν τῷ βίῳ.
*to-write-up what each of-them practice in the life*

3 ἐκθήσω δέ σοι κατὰ γένος, ὅσα τε τυγχάνει γένη
*I-will-set-out and to-you by kind as-many both happen kinds*
τρόπων τούτοις προσκείμενα καὶ ὃν τρόπον τῇ
*of-characters to-these attached and in-what way the*
οἰκονομίᾳ χρῶνται· ὑπολαμβάνω γάρ, ὦ Πολύκλεις, τοὺς
*management they-use I-suppose for O Polycles the*
υἱεῖς ἡμῶν βελτίους ἔσεσθαι, καταλειφθέντων αὐτοῖς
*sons our better to-be-going-to-be having-been-left to-them*
ὑπομνημάτων τοιούτων, οἷς παραδείγμασι χρώμενοι
*memoirs such which as-examples using*
αἱρήσονται τοῖς εὐσχημονεστάτοις συνεῖναί τε καὶ ὁμιλεῖν,
*they-will-choose with-the most-seemly to-be-with both and to-associate*
ὅπως μὴ καταδεέστεροι ὦσιν αὐτῶν.
*so-that not inferior they-may-be than-them*

4 τρέψομαι δὲ ἤδη ἐπὶ τὸν λόγον· σὸν δὲ παρακολουθῆσαί
*I-will-turn and now to the account yours and to-follow*
τε ὀρθῶς καὶ εἰδῆσαι, εἰ ὀρθῶς λέγω. πρῶτον μὲν οὖν
*both rightly and to-know whether rightly I-speak first indeed then*
ποιήσομαι τὸν λόγον ἀπὸ τῶν τὴν εἰρωνείαν ἐζηλωκότων,
*I-will-make the account from those the dissembling having-emulated*
ἀφεὶς τὸ προοιμιάζεσθαι καὶ πολλὰ περὶ τοῦ πράγματος
*letting-go the to-make-preambles and many-things about the matter*
λέγειν·
*to-say*

5 καὶ ἄρξομαι πρῶτον ἀπὸ τῆς εἰρωνείας καὶ ὁριοῦμαι
*and I-will-begin first from the dissembling and I-will-define*
αὐτήν, εἶθ' οὕτως τὸν εἴρωνα διέξειμι, ποιός τίς
*it then thus the dissembler I-will-go-through of-what-sort a-one*
ἐστι καὶ εἰς τίνα τρόπον κατενήνεκται· καὶ τὰ ἄλλα
*he-is and into what character he-has-been-brought-down and the other*

δὴ τῶν παθημάτων, ὥσπερ ὑπεθέμην, πειράσομαι κατὰ
*indeed of-the dispositions as I-proposed I-will-try by*
γένος φανερὰ καθιστάναι.
*kind clear to-make*

# Εἰρωνείας

## I · THE DISSEMBLER

*Dissembling is a pretense of being worse than one is in word and deed. The dissembler chats with his enemies, praises to their faces men he attacks in secret, forgives those who slander him, admits nothing he is doing but says he is still deliberating, pretends he has just arrived or was ill, and denies what he saw and heard: "I don't believe it," "You surprise me." Such twisting characters are to be guarded against more than vipers.*

ἡ μὲν οὖν εἰρωνεία δόξειεν ἂν εἶναι, ὡς τύπῳ λαβεῖν, 1
*the indeed then dissembling would-seem — to-be as in-outline to-take*
προσποίησις ἐπὶ χεῖρον πράξεων καὶ λόγων, ὁ δὲ εἴρων
*a-pretense toward worse of-deeds and of-words the and dissembler*
τοιοῦτός τις,
*such a-one*
οἷος προσελθὼν τοῖς ἐχθροῖς ἐθέλειν λαλεῖν, οὐ μισεῖν· 2
*such-as having-approached the enemies to-be-willing to-chat not to-hate*
καὶ ἐπαινεῖν παρόντας, οἷς ἐπέθετο λάθρα, καὶ τούτοις
*and to-praise (them)-present whom he-attacked secretly and with-these*
συλλυπεῖσθαι ἡττωμένοις· καὶ συγγνώμην δὲ ἔχειν τοῖς
*to-grieve-along being-defeated and pardon too to-have for-those*
αὑτὸν κακῶς λέγουσι καὶ ἐπὶ τοῖς καθ' ἑαυτοῦ λεγομένοις.
*himself badly speaking and at the-things against himself being-said*

3 καὶ πρὸς τοὺς ἀδικουμένους καὶ ἀγανακτοῦντας πράως
*and toward those being-wronged and being-indignant mildly*
διαλέγεσθαι· καὶ τοῖς ἐντυγχάνειν κατὰ σπουδὴν βουλομένοις
*to-converse and to-those to-meet in haste wishing*
προστάξαι ἐπανελθεῖν.
*to-order to-come-back*

4 καὶ μηδὲν ὧν πράττει ὁμολογῆσαι, ἀλλὰ φῆσαι
*and nothing of-what he-does to-admit but to-say*
βουλεύεσθαι· καὶ προσποιήσασθαι ἄρτι παραγεγονέναι καὶ
*to-be-deliberating and to-pretend just-now to-have-arrived and*
ὀψὲ γενέσθαι αὐτὸν καὶ μαλακισθῆναι.
*late to-have-come himself and to-have-been-sick*

5 καὶ πρὸς τοὺς δανειζομένους καὶ ἐρανίζοντας *** ὡς
*and toward those borrowing and collecting-contributions (lacuna) that*
οὐ πωλεῖ, καὶ μὴ πωλῶν φῆσαι πωλεῖν· καὶ ἀκούσας
*not he-sells and not selling to-say to-sell and having-heard*
τι μὴ προσποιεῖσθαι, καὶ ἰδὼν φῆσαι μὴ ἑορακέναι,
*something not to-let-on and having-seen to-say not to-have-seen*
καὶ ὁμολογήσας μὴ μεμνῆσθαι· καὶ τὰ μὲν σκέψασθαι
*and having-agreed not to-remember and the-things indeed to-have-considered*
φάσκειν, τὰ δὲ οὐκ εἰδέναι, τὰ δὲ θαυμάζειν, τὰ
*to-claim the-things and not to-know the-things and to-wonder-at the-things*
δ' ἤδη ποτὲ καὶ αὐτὸς οὕτως διαλογίσασθαι. καὶ
*and already at-some-time also himself thus to-have-reasoned and*
τὸ ὅλον δεινὸς τῷ τοιούτῳ τρόπῳ τοῦ λόγου χρῆσθαι·
*the whole clever with-the such manner of-the speech to-use*

6 "οὐ πιστεύω", "οὐχ ὑπολαμβάνω", "ἐκπλήττομαι" καὶ
*not I-believe-(it) not I-suppose-(it) I-am-astounded and*
"λέγεις αὐτὸν ἕτερον γεγονέναι· καὶ μὴν οὐ ταῦτα πρὸς
*you-say him other to-have-become and truly not these-things to*
ἐμὲ διεξῄει", "παράδοξόν μοι τὸ πρᾶγμα", "ἄλλῳ τινὶ
*me he-related paradoxical to-me the matter to-another someone*

λέγε", "ὅπως δὲ σοὶ ἀπιστήσω ἢ ἐκείνου καταγνῶ,
*tell-(it) how and you I-shall-disbelieve or him condemn*
ἀποροῦμαι", "ἀλλ' ὅρα, μὴ σὺ θᾶττον πιστεύεις".
*I-am-at-a-loss but see lest you too-quickly believe*
τοιαύτας φωνὰς καὶ πλοκὰς καὶ παλιλλογίας εὑρεῖν ἐστι 7
*such utterances and twists and repetitions to-find it-is*
τῶν εἰρώνων. τὰ δὴ τῶν ἠθῶν μὴ ἁπλά, ἀλλ'
*of-the dissemblers the-things indeed of-the characters not simple but*
ἐπίβουλα, φυλάττεσθαι μᾶλλον δεῖ ἢ τοὺς ἔχεις.
*scheming to-guard-against rather it-is-needful than the vipers*

# Κολακείας

## II · THE FLATTERER

*Flattery is a shameful company that profits the flatterer. He tells his patron that everyone looks at him, picks lint from his cloak, laughs at his cold jokes, hushes others when he speaks, brings his children fruit, praises his wine, his house, and his portrait, and runs his errands without stopping for breath. In short, he says and does whatever he thinks will please.*

τὴν δὲ κολακείαν ὑπολάβοι ἄν τις ὁμιλίαν αἰσχρὰν εἶναι, 1
*the and flattery would-suppose — one a-company shameful to-be*
συμφέρουσαν δὲ τῷ κολακεύοντι, τὸν δὲ κόλακα τοιοῦτόν
*advantageous but to-the flatterer the and flatterer such*
τινα, ὥστε ἅμα πορευόμενον εἰπεῖν·
*a-one so-as together walking to-say*
"ἐνθυμῇ, ὡς ἀποβλέπουσι πρὸς σὲ οἱ ἄνθρωποι; τοῦτο 2
*do-you-notice how look at you the people this*
δὲ οὐθενὶ τῶν ἐν τῇ πόλει γίγνεται πλὴν σοί."
*and to-no-one of-those in the city happens except you*
"ηὐδοκίμεις χθὲς ἐν τῇ στοᾷ·" πλειόνων γὰρ ἢ
*you-were-well-spoken-of yesterday in the stoa more for than*

τριάκοντα ἀνθρώπων καθημένων καὶ ἐμπεσόντος λόγου,
*thirty men sitting and having-fallen-in a-discussion*
τίς εἴη βέλτιστος, ἀπ᾽ αὐτοῦ ἀρξαμένους πάντας ἐπὶ
*who might-be best from him having-begun all to*
τὸ ὄνομα αὐτοῦ κατενεχθῆναι.
*the name his to-have-been-brought-down*

3 καὶ ἄλλα τοιαῦτα λέγων ἀπὸ τοῦ ἱματίου ἀφελεῖν
*and other such-things saying from the cloak to-take-off*
κροκύδα, καὶ ἐάν τι πρὸς τὸ τρίχωμα τῆς κεφαλῆς
*a-flock-of-wool and if anything to the hair of-the head*
ὑπὸ πνεύματος προσενεχθῇ ἄχυρον, καρφολογῆσαι. καὶ
*by wind be-carried chaff to-pick-off-the-straw and*
ἐπιγελάσας δὲ εἰπεῖν· "ὁρᾷς; ὅτι δυοῖν σοι ἡμερῶν οὐκ
*having-laughed-at-(it) too to-say do-you-see that for-two you days not*
ἐντετύχηκα, πολιῶν ἔσχηκας τὸν πώγωνα μεστόν, καίπερ
*I-have-met of-gray-hairs you-have-got the beard full although*
εἴ τις καὶ ἄλλος ἔχεις πρὸς τὰ ἔτη μέλαιναν τὴν τρίχα."
*if anyone also other you-have for the years black the hair*

4 καὶ λέγοντος δὲ αὐτοῦ τι τοὺς ἄλλους σιωπᾶν κελεῦσαι,
*and speaking too him anything the others to-be-silent to-bid*
καὶ ἐπαινέσαι δὲ ἀκούοντος, καὶ ἐπισημήνασθαι δέ, εἰ
*and to-praise too (him)-listening and to-signal-approval too if*
παύσαιτο, "ὀρθῶς", καὶ σκώψαντι ψυχρῶς ἐπιγελάσαι τό
*he-should-stop rightly and at-him-joking frigidly to-laugh the*
τε ἱμάτιον ὦσαι εἰς τὸ στόμα ὡς δὴ οὐ δυνάμενος
*and cloak to-push into the mouth as indeed not being-able*
κατασχεῖν τὸν γέλωτα.
*to-hold-back the laughter*

5 καὶ τοὺς ἀπαντῶντας ἐπιστῆναι κελεῦσαι, ἕως ἂν αὐτὸς
*and those meeting-(them) to-stand-still to-bid until — he-himself*
παρέλθῃ.
*should-pass-by*

καὶ τοῖς παιδίοις μῆλα καὶ ἀπίους πριάμενος εἰσενέγκας 6
*and for-the children apples and pears having-bought having-brought-in*
δοῦναι ὁρῶντος αὐτοῦ, καὶ φιλήσας δὲ εἰπεῖν·
*to-give seeing him and having-kissed-(them) too to-say*
"χρηστοῦ πατρὸς νεοττία."
*of-a-good father chicks*
καὶ συνωνούμενος ἐπικρηπῖδας τὸν πόδα φῆσαι εἶναι 7
*and buying-along-(with-him) slippers the foot to-say to-be*
εὐρυθμότερον τοῦ ὑποδήματος.
*more-shapely than-the shoe*
καὶ πορευομένου πρός τινα τῶν φίλων προδραμὼν 8
*and (him)-going to some of-the friends running-ahead*
εἰπεῖν ὅτι "πρὸς σὲ ἔρχεται", καὶ ἀναστρέψας ὅτι
*to-say that to you he-is-coming and having-turned-back that*
"προσήγγελκα".
*I-have-announced-(you)*
ἀμέλει δὲ καὶ τὰ ἐκ γυναικείας ἀγορᾶς διακονῆσαι 9
*of-course and also the-things from the-women's market to-run-errands-for*
δυνατὸς ἀπνευστί.
*able without-taking-breath*
καὶ τῶν ἑστιωμένων πρῶτος ἐπαινέσαι τὸν οἶνον καὶ 10
*and of-those feasting first to-praise the wine and*
παραμένων εἰπεῖν· "ὡς μαλακῶς ἐσθίεις", καὶ ἄρας
*sitting-by to-say how softly you-eat and having-lifted*
τι τῶν ἀπὸ τῆς τραπέζης φῆσαι· "τουτὶ ἄρα
*something of-the-things from the table to-say this then*
ὡς χρηστόν ἐστι", καὶ ἐρωτῆσαι, μὴ ῥιγοῖ, καὶ εἰ
*how good it-is and to-ask whether he-is-cold and whether*
ἐπιβάλλεσθαι βούλεται, καὶ εἴ τι περιστείλῃ
*to-put-on he-wishes and whether something he-should-wrap-around*

αὐτόν· καὶ μὴν ταῦτα λέγων πρὸς τὸ οὖς προσπίπτων
*him and truly these-things saying to the ear leaning-in*
διαψιθυρίζειν· καὶ εἰς ἐκεῖνον ἀποβλέπων τοῖς ἄλλοις λαλεῖν.
*to-whisper and at that-man looking to-the others to-chat*

11 καὶ τοῦ παιδὸς ἐν τῷ θεάτρῳ ἀφελόμενος τὰ
*and from-the slave in the theater having-taken-away the*
προσκεφάλαια αὐτὸς ὑποστρῶσαι.
*cushions himself to-spread-(them)-under*

12 καὶ τὴν οἰκίαν φῆσαι εὖ ἠρχιτεκτονῆσθαι καὶ τὸν ἀγρὸν
*and the house to-say well to-have-been-built and the farm*
εὖ πεφυτεῦσθαι καὶ τὴν εἰκόνα ὁμοίαν εἶναι.
*well to-have-been-planted and the portrait like to-be*

13 καὶ τὸ κεφάλαιον τὸν κόλακα ἔστι θεάσασθαι πάντα καὶ
*and the sum the flatterer it-is to-see all-things both*
λέγοντα καὶ πράττοντα, ᾧ χαριεῖσθαι ὑπολαμβάνει.
*saying and doing by-which to-be-going-to-please he-supposes*

# Ἀδολεσχίας

## III · THE GARRULOUS MAN

*Garrulity is a flow of long and thoughtless talk. The garrulous man sits down beside a stranger, praises his own wife, tells his dream, and goes through his dinner dish by dish; then he says that men are worse than they used to be, wheat is cheap, and many foreigners are in town, throws in that he vomited yesterday, and asks what day it is. If anyone puts up with him, he does not let go, and tells when the festivals fall. Run from him at full stride: it is hard to bear people who cannot tell leisure from business.*

ἡ δὲ ἀδολεσχία ἐστὶ μὲν διήγησις λόγων μακρῶν καὶ 1
*the and garrulity is indeed a-narration of-speeches long and*
ἀπροβουλεύτων·
*unpremeditated*
ὁ δὲ ἀδολέσχης τοιοῦτός τις, οἷος, ὃν μὴ γιγνώσκει, 2
*the and garrulous-man such a-one such-as whom not he-knows*
τούτῳ παρακαθεζόμενος πλησίον πρῶτον μὲν τῆς αὑτοῦ
*by-this-man sitting-down near first indeed of-the his-own*
γυναικὸς εἰπεῖν ἐγκώμιον· εἶτα, ὃ τῆς νυκτὸς εἶδεν
*wife to-say a-praise then what in-the night he-saw*
ἐνύπνιον, τοῦτο διηγήσασθαι· εἶθ' ὧν εἶχεν ἐπὶ τῷ
*dream this to-narrate then of-what he-had at the*
δείπνῳ τὰ καθ' ἕκαστα διεξελθεῖν.
*dinner the-things in detail to-go-through*
εἶτα δὴ προχωροῦντος τοῦ πράγματος λέγειν, ὡς πολὺ 3
*then indeed proceeding the affair to-say that much*
πονηρότεροί εἰσιν οἱ νῦν ἄνθρωποι τῶν ἀρχαίων, καὶ
*worse are the now men than-the ancients and*
ὡς ἄξιοι γεγόνασιν οἱ πυροὶ ἐν τῇ ἀγορᾷ, καὶ ὡς
*that cheap have-become the wheat-grains in the market and that*

πολλοὶ ἐπιδημοῦσι ξένοι, καὶ τὴν θάλατταν ἐκ Διονυσίων
*many are-visiting foreigners and the sea from the-Dionysia*
πλόιμον εἶναι·
*navigable to-be*

4 καὶ εἰ ποιήσειεν ὁ Ζεὺς ὕδωρ πλεῖον, τὰ ἐν τῇ γῇ
*and if should-make — Zeus water more the-things in the earth*
βελτίω ἔσεσθαι, καὶ ὃν ἀγρὸν εἰς νέωτα γεωργήσει,
*better to-be-going-to-be and what field for next-year he-will-farm*
καὶ ὡς χαλεπόν ἐστι τὸ ζῆν, καὶ ὡς Δάμιππος μυστηρίοις
*and that hard it-is the to-live and that Damippus at-the-mysteries*
μεγίστην δᾷδα ἔστησεν, καὶ πόσοι εἰσὶ κίονες τοῦ Ὠιδείου,
*greatest torch set-up and how-many are columns of-the Odeum*
καὶ "χθὲς ἤμεσα", καὶ "τίς ἐστιν ἡμέρα τήμερον;"
*and yesterday I-vomited and what is day today*

5 κἂν ὑπομένῃ τις αὐτόν, μὴ ἀφίστασθαι. καὶ ὡς
*and-if puts-up-with anyone him not to-desist and that*
Βοηδρομιῶνος μέν ἐστι τὰ μυστήρια, Πυανοψιῶνος δὲ
*in-Boedromion indeed are the mysteries in-Pyanopsion and*
Ἀπατούρια, Ποσιδεῶνος δὲ τὰ κατ' ἀγροὺς Διονύσια.
*the-Apaturia in-Poseideon and the in the-country Dionysia*

6 παρασείσαντα δὴ δεῖ τοὺς τοιούτους τῶν
*having-swung-(one's-arms) indeed it-is-needful the such of-the*
ἀνθρώπων καὶ διαράμενον ἀπαλλάττεσθαι, ὅστις
*men and having-lifted-(one's-legs) to-get-away whoever*
ἀπύρευτος βούλεται εἶναι· ἔργον γὰρ συναρκεῖσθαι τοῖς
*unfevered wishes to-be a-task for to-bear-up-with those*
μήτε σχολὴν μήτε σπουδὴν διαγινώσκουσιν.
*neither leisure nor seriousness distinguishing*

# Ἀγροικίας

## IV · THE BOOR

*Boorishness is uncouth ignorance. The boor goes to the Assembly smelling of a posset, says perfume smells no sweeter than thyme, distrusts his friends and kin but consults his slaves on the weightiest matters, tells his hired hands the Assembly's news, sits with his cloak hitched up, gapes at an ox in the street, eats from the storeroom, sings in the bath, and nails his shoes. He rejects coins as worn and lies awake over a lent sickle.*

ἡ δὲ ἀγροικία δόξειεν ἂν εἶναι ἀμαθία ἀσχήμων, ὁ 1
*the and boorishness would-seem — to-be an-ignorance unseemly the*
δὲ ἄγροικος τοιοῦτός τις, οἷος κυκεῶνα πιὼν εἰς
*and boor such a-one such-as a-posset having-drunk into*
ἐκκλησίαν πορεύεσθαι, καὶ τὸ μύρον φάσκειν οὐδὲν τοῦ
*assembly to-go and the perfume to-claim not-at-all than-the*
θύμου ἥδιον ὄζειν, καὶ μείζω τοῦ ποδὸς τὰ ὑποδήματα
*thyme more-sweetly to-smell and larger than-the foot the shoes*
φορεῖν, καὶ μεγάλῃ τῇ φωνῇ λαλεῖν.
*to-wear and with-loud the voice to-chat*
καὶ τοῖς μὲν φίλοις καὶ οἰκείοις ἀπιστεῖν, πρὸς δὲ τοὺς 2
*and the indeed friends and kinsmen to-distrust toward but the*
αὑτοῦ οἰκέτας ἀνακοινοῦσθαι περὶ τῶν μεγίστων·
*his-own house-slaves to-confide about the greatest-things*
καὶ τοῖς παρ᾽ αὐτῷ ἐργαζομένοις μισθωτοῖς ἐν ἀγρῷ 3
*and to-the with him working hired-men in field*
πάντα τὰ ἀπὸ τῆς ἐκκλησίας διηγεῖσθαι.
*all the-things from the assembly to-relate*
καὶ ἀναβεβλημένος ἄνω τοῦ γόνατος καθιζάνειν, ὥστε 4
*and having-hitched-up-(his-cloak) above the knee to-sit-down so-that*
τὰ γυμνὰ αὐτοῦ φαίνεσθαι.
*the naked-parts his to-be-seen*

καὶ ἐπ᾽ ἄλλῳ μὲν μηδενὶ μήτε θαυμάζειν μήτε ἐκπλήττεσθαι
*and at other indeed nothing neither to-wonder nor to-be-astonished*
ἐν ταῖς ὁδοῖς, ὅταν δὲ ἴδῃ βοῦν ἢ ὄνον ἢ τράγον,
*in the streets whenever but he-sees an-ox or a-donkey or a-he-goat*
ἑστηκὼς θεωρεῖν.
*standing to-gaze*

καὶ προαιρῶν δέ τι ἐκ τοῦ ταμιείου δεινὸς φαγεῖν·
*and taking-out too something from the storeroom clever to-eat*
καὶ ζωρότερον πιεῖν.
*and stronger to-drink*

καὶ τὴν σιτοποιὸν πειρῶν λαθεῖν, κᾆτ᾽ ἀλέσαι
*and the bread-maker making-a-pass-at to-escape-notice and-then to-grind*
μετ᾽ αὐτῆς τοῖς ἔνδον πᾶσι καὶ αὑτῷ τὰ ἐπιτήδεια.
*with her for-those inside all and for-himself the necessaries*

καὶ ἀριστῶν δὲ ἅμα τοῖς ὑποζυγίοις ἐμβαλεῖν.
*and lunching too at-the-same-time to-the draft-animals to-throw-(fodder)*

καὶ παρὰ τὴν θύραν ὑπακοῦσαι αὐτός.
*and at the door to-answer himself*

καὶ τὸν κύνα προσκαλεσάμενος καὶ ἐπιλαβόμενος τοῦ
*and the dog having-called-to-(him) and having-taken-hold of-the*
ῥύγχους εἰπεῖν· "οὗτος φυλάττει τὸ χωρίον καὶ τὴν
*snout to-say this-one guards the place and the*
οἰκίαν."
*house*

καὶ τὸ ἀργύριον δὲ παρά του λαβὼν ἀποδοκιμάζειν,
*and the silver too from someone having-received to-reject-(it)*
λίαν μὲν λυπρὸν εἶναι, καὶ ἕτερον ἀνταλλάττεσθαι· καὶ εἴ
*too indeed shabby to-be and another to-take-in-exchange and if*
τῳ ἄροτρον ἔχρησεν ἢ κόφινον ἢ δρέπανον ἢ θύλακον,
*to-someone a-plow he-lent or a-basket or a-sickle or a-sack*
ταῦτα τῆς νυκτὸς κατὰ ἀγρυπνίαν ἀναμιμνῃσκόμενος ***.
*these-things in-the night during sleeplessness recalling (lacuna)*

καὶ εἰς ἄστυ καταβαίνων ἐρωτῆσαι τὸν ἀπαντῶντα, 12
*and into town going-down to-ask the-one meeting-(him)*
πόσου ἦσαν αἱ διφθέραι καὶ τὸ τάριχος καὶ εἰ
*at-how-much were the hides and the salt-fish and whether*
τήμερον ὁ ἀγὼν νουμηνίαν ἄγει, καὶ εἰπεῖν εὐθὺς ὅτι
*today the contest new-moon keeps and to-say straightway that*
βούλεται καταβὰς ἀποκείρασθαι.
*he-wishes having-gone-down to-get-a-haircut*
καὶ ἐν βαλανείῳ δὲ ἆσαι· καὶ εἰς τὰ ὑποδήματα δὲ ἥλους 13
*and in a-bath too to-sing and into the shoes too nails*
ἐγκροῦσαι.
*to-drive*
καὶ τῆς αὐτῆς ὁδοῦ παριὼν κομίσασθαι παρ᾽ Ἀρχίου τοὺς 14
*and on-the same road passing to-fetch from Archias the*
ταρίχους.
*salt-fish*

## Ἀρεσκείας

### V · THE COMPLAISANT MAN

*Complaisance is a manner aimed at pleasing, not at the best. The complaisant man greets men from afar, arbitrates so as to please both sides, praises foreigners above citizens, plays with his host's children, keeps his teeth white and his clothes fine, buys nothing for himself but runs commissions for foreigners, and keeps rare pets and curios. He lends his little wrestling-court for displays and arrives late so that people say it is his.*

1 ἡ δὲ ἀρέσκειά ἐστι μέν, ὡς ὅρῳ περιλαβεῖν, ἔντευξις
*the and complaisance is indeed as in-a-definition to-comprehend an-association*
οὐκ ἐπὶ τῷ βελτίστῳ ἡδονῆς παρασκευαστική, ὁ δὲ
*not toward the best of-pleasure productive the and*
ἄρεσκος ἀμέλει τοιοῦτός τις,
*complaisant-man of-course such a-one*
2 οἷος πόρρωθεν προσαγορεύσας καὶ ἄνδρα κράτιστον
*such-as from-afar having-greeted-(one) and man most-excellent*
εἰπὼν καὶ θαυμάσας ἱκανῶς, ἀμφοτέραις ταῖς
*having-called-(him) and having-admired-(him) enough with-both the*
χερσὶ μὴ ἀφιέναι καὶ μικρὸν προπέμψας καὶ ἐρωτήσας,
*hands not to-let-go and a-little having-escorted-(him) and having-asked*
πότε αὐτὸν ὄψεται, ἐπαινῶν ἀπαλλάττεσθαι.
*when him he-will-see praising to-take-leave*
3 καὶ παρακληθεὶς δὲ πρὸς δίαιταν μὴ μόνον ᾧ
*and having-been-called-in too to arbitration not only him-whom*
πάρεστι βούλεσθαι ἀρέσκειν, ἀλλὰ καὶ τῷ ἀντιδίκῳ, ἵνα
*he-is-there-for to-wish to-please but also the opponent so-that*
κοινὸς εἷς εἶναι δοκῇ.
*impartial one to-be he-may-seem*
4 καὶ τοὺς ξένους δὲ εἰπεῖν ὡς δικαιότερα λέγουσι τῶν
*and the foreigners too to-say that more-just-things they-say than-the*
πολιτῶν.
*citizens*
5 καὶ κεκλημένος δὲ ἐπὶ δεῖπνον κελεῦσαι καλέσαι τὰ
*and having-been-invited too to dinner to-bid to-call the*
παιδία τὸν ἑστιῶντα, καὶ εἰσιόντα φῆσαι σύκου
*children the host and (them)-coming-in to-say than-a-fig*
ὁμοιότερα εἶναι τῷ πατρί, καὶ προσαγόμενος φιλῆσαι
*more-like to-be to-the father and drawing-(them)-to-(him) to-kiss*
καὶ παρ᾽ αὑτὸν καθίστασθαι· καὶ τοῖς μὲν συμπαίζειν
*and beside himself to-set-(them) and with-some indeed to-play-together*

αὐτὸς λέγων "ἀσκός, πέλεκυς"· τὰ δὲ ἐπὶ τῆς γαστρὸς
*himself saying wineskin ax others and on the belly*
ἐᾶν καθεύδειν ἅμα θλιβόμενος.
*to-let to-sleep at-the-same-time being-squashed*
καὶ πλειστάκις δὲ ἀποκείρασθαι καὶ τοὺς ὀδόντας λευκοὺς 6
*and very-often too to-get-a-haircut and the teeth white*
ἔχειν καὶ τὰ ἱμάτια δὲ χρηστὰ μεταβάλλεσθαι καὶ χρίσματι
*to-have and the cloaks too good to-change and with-unguent*
ἀλείφεσθαι.
*to-be-anointed*
καὶ τῆς μὲν ἀγορᾶς πρὸς τὰς τραπέζας προσφοιτᾶν, 7
*and of-the indeed market to the bankers'-tables to-resort*
τῶν δὲ γυμνασίων ἐν τούτοις διατρίβειν, οὗ ἂν ἔφηβοι
*of-the and gymnasia in these to-spend-time where — youths*
γυμνάζωνται, τοῦ δὲ θεάτρου καθῆσθαι, ὅταν ᾖ θέα,
*train of-the and theater to-sit whenever there-is a-show*
πλησίον τῶν στρατηγῶν.
*near the generals*
καὶ ἀγοράζειν αὑτῷ μὲν μηδέν, ξένοις δὲ εἰς Βυζάντιον 8
*and to-buy for-himself indeed nothing for-foreigners but to Byzantium*
ἐπιστάλματα, καὶ Λακωνικὰς κύνας εἰς Κύζικον καὶ μέλι
*commissions and Laconian hounds to Cyzicus and honey*
Ὑμήττιον εἰς Ῥόδον, καὶ ταῦτα ποιῶν τοῖς ἐν τῇ πόλει
*Hymettian to Rhodes and these-things doing to-those in the city*
διηγεῖσθαι.
*to-relate*
ἀμέλει δὲ καὶ πίθηκον θρέψαι δεινὸς καὶ τίτυρον 9
*of-course and also an-ape to-keep clever and a-satyr-monkey*
κτήσασθαι καὶ Σικελικὰς περιστερὰς καὶ δορκαδείους
*to-acquire and Sicilian doves and of-gazelle-horn*
ἀστραγάλους καὶ Θουριακὰς τῶν στρογγύλων ληκύθους
*knucklebones and Thurian of-the round oil-flasks*

καὶ βακτηρίας τῶν σκολιῶν ἐκ Λακεδαίμονος καὶ αὐλαίαν
*and walking-sticks of-the crooked from Lacedaemon and a-curtain*
ἔχουσαν Πέρσας ἐνυφασμένους, καὶ αὐλίδιον παλαιστριαῖον
*having Persians woven-in and a-little-court for-wrestling*
κόνιν ἔχον καὶ σφαιριστήριον.
*sand having and a-ball-court*
καὶ τοῦτο περιὼν χρηννύναι τοῖς φιλοσόφοις, τοῖς
*and this going-round to-lend to-the philosophers to-the*
σοφισταῖς, τοῖς ὁπλομάχοις, τοῖς ἁρμονικοῖς ἐπιδείκνυσθαι·
*sophists to-the drill-masters to-the musicians to-give-displays*
καὶ αὐτὸς ἐν ταῖς ἐπιδείξεσιν ὕστερον ἐπεισιέναι ἐπὶ
*and himself at the displays later to-come-in for*
τῷ τὸν ἕτερον εἰπεῖν τῶν θεωμένων πρὸς τὸν
*the(-purpose) the one to-say of-those watching to the*
ἕτερον, ὅτι τούτου ἐστὶν ἡ παλαίστρα.
*other that of-this-man is the wrestling-school*

## Ἀπονοίας

### VI · THE RECKLESS MAN

*Recklessness is a tolerance of shameful deeds and words. The reckless man swears lightly, dances the cordax sober, collects coins at conjuring shows, will keep an inn or a brothel, neglects his mother and lives in prison. He harangues crowds, carries lawsuits in his cloak, lends small sums at ruinous daily interest, and his loud abusive mouth fills the market.*

1 ἡ δὲ ἀπόνοιά ἐστιν ὑπομονὴ αἰσχρῶν ἔργων καὶ λόγων,
*the and recklessness is an-endurance of-shameful deeds and words*
2 ὁ δὲ ἀπονενοημένος τοιοῦτός τις, οἷος ὀμόσαι
*the and reckless-man such a-one such-as to-swear*
ταχύ, κακῶς ἀκοῦσαι, λοιδορηθῆναι δυνάμενος, τῷ
*quickly badly to-be-spoken-of to-be-abused able in-the*

ἤθει ἀγοραῖός τις καὶ ἀνασεσυρμένος καὶ
*character a-market-lounger of-a-sort and with-cloak-hitched-up and*
παντοποιός.
*ready-for-anything*
ἀμέλει δυνατὸς καὶ ὀρχεῖσθαι νήφων τὸν κόρδακα καὶ 3
*of-course able also to-dance sober the cordax and*
προσωπεῖον ἔχων ἐν κωμικῷ χορῷ.
*a-mask having in a-comic chorus*
καὶ ἐν θαύμασι δὲ τοὺς χαλκοῦς ἐκλέγειν καθ' ἕκαστον 4
*and at conjuring-shows and the coppers to-collect by each*
παριὼν καὶ μάχεσθαι τούτοις τοῖς τὸ σύμβολον φέρουσι
*going-along and to-fight with-those those the ticket bringing*
καὶ προῖκα θεωρεῖν ἀξιοῦσι.
*and free to-watch claiming*
δεινὸς δὲ καὶ πανδοκεῦσαι καὶ πορνοβοσκῆσαι καὶ 5
*clever and also to-keep-an-inn and to-keep-a-brothel and*
τελωνῆσαι καὶ μηδεμίαν αἰσχρὰν ἐργασίαν ἀποδοκιμάσαι,
*to-farm-taxes and no shameful trade to-reject*
ἀλλὰ κηρύττειν, μαγειρεύειν, κυβεύειν·
*but to-be-a-crier to-be-a-cook to-play-dice*
τὴν μητέρα μὴ τρέφειν, ἀπάγεσθαι κλοπῆς, τὸ δεσμωτήριον 6
*the mother not to-support to-be-arrested for-theft the prison*
πλείω χρόνον οἰκεῖν ἢ τὴν αὑτοῦ οἰκίαν.
*more time to-live-in than the his-own house*
καὶ τοῦτο δ' ἂν εἶναι δόξειεν τῶν περισταμένων 7
*and this too — to-be would-seem of-those gathering-round*
τοὺς ὄχλους καὶ προσκαλούντων, μεγάλῃ τῇ φωνῇ καὶ
*the crowds and calling-to-(them) with-loud the voice and*
παρερρωγυίᾳ λοιδορουμένων καὶ διαλεγομένων πρὸς αὐτούς,
*cracked railing and conversing with them*
καὶ μεταξὺ οἱ μὲν προσίασιν, οἱ δὲ ἀπίασιν πρὶν ἀκοῦσαι
*and meanwhile some indeed come-up others and go-away before to-hear*

αὐτοῦ, ἀλλὰ τοῖς μὲν ἀρχήν, τοῖς δὲ συλλαβήν, τοῖς
*him but to-some indeed a-beginning to-others and a-syllable to-others*
δὲ μέρος τοῦ πράγματος λέγει, οὐκ ἄλλως θεωρεῖσθαι
*and a-part of-the matter he-tells not otherwise to-be-seen*
ἀξιῶν τὴν ἀπόνοιαν αὐτοῦ, ἢ ὅταν ᾖ πανήγυρις.
*thinking-fit the recklessness his than when there-is a-festival*
8 ἱκανὸς δὲ καὶ δίκας τὰς μὲν φεύγειν, τὰς δὲ διώκειν, τὰς
*able and also lawsuits some indeed to-defend some and to-prosecute some*
δὲ ἐξόμνυσθαι, ταῖς δὲ παρεῖναι ἔχων ἐχῖνον ἐν τῷ
*and to-swear-off for-some and to-be-present having a-document-jar in the*
προκολπίῳ καὶ ὁρμαθοὺς γραμματειδίων ἐν ταῖς χερσίν·
*fold-of-his-cloak and strings of-little-tablets in the hands*
9 οὐκ ἀποδοκιμάζειν δὲ οὐδ' ἅμα πολλῶν ἀγοραίων
*not to-refuse and nor at-the-same-time many market-loungers*
στρατηγεῖν καὶ εὐθὺς τούτοις δανείζειν καὶ τῆς
*to-lead and straightway to-these to-lend and on-the*
δραχμῆς τόκον τρία ἡμιωβόλια τῆς ἡμέρας πράττεσθαι.
*drachma interest three half-obols of-the day to-exact*
καὶ ἐφοδεύειν τὰ μαγειρεῖα, τὰ ἰχθυοπώλια, τὰ
*and to-make-the-rounds-of the cook-shops the fish-stalls the*
ταριχοπώλια, καὶ τοὺς τόκους ἀπὸ τοῦ ἐμπολήματος εἰς
*salt-fish-stalls and the interest from the takings into*
τὴν γνάθον ἐκλέγειν.
*the cheek to-collect*
10 ἐργώδεις δέ εἰσιν οἱ τὸ στόμα εὔλυτον ἔχοντες πρὸς
*troublesome and are those the mouth loose having for*
λοιδορίαν καὶ φθεγγόμενοι μεγάλῃ τῇ φωνῇ, ὡς συνηχεῖν
*abuse and uttering with-loud the voice so-that to-ring-together*
αὐτοῖς τὴν ἀγορὰν καὶ τὰ ἐργαστήρια.
*with-them the market and the workshops*

# Λαλιᾶς

## VII · THE TALKER

*Talkativeness is an incontinence of speech. The talker tells whoever he meets that he knows everything, cuts in on answers, keeps the schoolboys from their lessons, retells the Assembly and Lysander's victory, and admits that a talker cannot keep silent. Even his children, wanting to sleep, ask him to chat so that sleep will come.*

ἡ δὲ λαλιά, εἴ τις αὐτὴν ὁρίζεσθαι βούλοιτο, εἶναι ἂν 1
*the and talkativeness if anyone it to-define should-wish to-be —*
δόξειεν ἀκρασία τοῦ λόγου, ὁ δὲ λάλος τοιοῦτός τις,
*would-seem an-incontinence of-the speech the and talker such a-one*
οἷος τῷ ἐντυγχάνοντι εἰπεῖν, ἂν ὁτιοῦν πρὸς 2
*such-as to-the-one meeting-(him) to-say if anything-whatever to*
αὐτὸν φθέγξηται, ὅτι οὐθὲν λέγει καὶ ὅτι αὐτὸς πάντα
*him he-utters that nothing he-says and that he-himself everything*
οἶδεν καὶ ἂν ἀκούῃ αὑτοῦ, μαθήσεται·
*knows and if he-listens-to him he-will-learn*
καὶ μεταξὺ δὲ ἀποκρινομένῳ ἐπιβάλλειν· "εἶπας σύ; μὴ 3
*and in-between too (him)-answering to-throw-in you-said you not*
ἐπιλάθῃ, ὃ μέλλεις λέγειν," καὶ "εὖ γε, ὅτι με
*forget what you-are-about to-say and well at-least that me*
ὑπέμνησας" καὶ "τὸ λαλεῖν ὡς χρήσιμόν που" καὶ "ὃ
*you-reminded and the to-chat how useful I-suppose and what*
παρέλιπον" καὶ "ταχύ γε συνῆκας τὸ πρᾶγμα" καὶ
*I-left-out and quickly at-least you-grasped the matter and*
"πάλαι σε παρετήρουν, εἰ ἐπὶ τὸ αὐτὸ ἐμοὶ
*this-long-while you I-was-watching whether to the same-(point) as-me*
κατενεχθήσῃ", καὶ ἑτέρας ἀρχὰς τοιαύτας πορίσασθαι,
*you-will-come-round and other openings such to-provide*
ὥστε μηδὲ ἀναπνεῦσαι τὸν ἐντυγχάνοντα.
*so-that not-even to-take-breath the-one meeting-(him)*

4 καὶ ὅταν γε τοὺς καθ' ἕνα ἀπογυμνώσῃ, δεινὸς καὶ
*and whenever at-least the-ones by one he-strips-bare clever also*
ἐπὶ τοὺς ἀθρόους καὶ συνεστηκότας πορευθῆναι καὶ
*against those in-a-body and standing-together to-go and*
φυγεῖν ποιῆσαι μεταξὺ χρηματίζοντας.
*to-flee to-make-(them) in-the-midst-of doing-business*

5 καὶ εἰς τὰ διδασκαλεῖα δὲ καὶ εἰς τὰς παλαίστρας
*and into the schools and also into the wrestling-schools*
εἰσιὼν κωλύειν τοὺς παῖδας προμανθάνειν· τοσαῦτα καὶ
*going-in to-hinder the boys to-learn-their-lessons so-much also*
προσλαλεῖ τοῖς παιδοτρίβαις καὶ διδασκάλοις.
*he-chats-with the trainers and teachers*

6 καὶ τοὺς ἀπιέναι φάσκοντας δεινὸς προπέμψαι καὶ
*and those to-go-away claiming clever to-escort and*
ἀποκαταστῆσαι εἰς τὰς οἰκίας.
*to-see-back to the houses*

7 καὶ πυθόμενος τὰ ἀπὸ τῆς ἐκκλησίας ἀπαγγέλλειν,
*and having-learned the-things from the assembly to-report*
προσδιηγήσασθαι δὲ καὶ τὴν ἐπ' Ἀριστοφῶντος τότε
*to-narrate-besides and also the under Aristophon then*
γενομένην τοῦ ῥήτορος μάχην καὶ τὴν Λακεδαιμονίοις
*having-happened of-the orator battle and the-one for-Lacedaemonians*
ὑπὸ Λυσάνδρου, καὶ οὕς ποτε λόγους αὐτὸς εἴπας
*under Lysander and what once speeches he-himself having-spoken*
εὐδοκίμησεν ἐν τῷ δήμῳ.
*was-well-thought-of in the people*

8 καὶ κατὰ τῶν πληθῶν γε ἅμα διηγούμενος
*and against the masses at-least at-the-same-time narrating*
κατηγορίαν παρεμβαλεῖν, ὥστε τοὺς ἀκούοντας ἤτοι
*an-accusation to-insert so-that those listening either*

ἐπιλαθέσθαι ἢ νυστάξαι ἢ μεταξὺ καταλιπόντας
*to-forget or to-nod-off or in-the-midst having-left-(him)*
ἀπαλλάττεσθαι.
*to-go-away*
καὶ συνδικάζων δὲ κωλῦσαι κρῖναι καὶ συνθεωρῶν 9
*and sitting-on-a-jury-with too to-prevent to-judge and watching-with*
θεάσασθαι καὶ συνδειπνῶν φαγεῖν λέγων, ὅτι χαλεπὸν τῷ
*to-watch and dining-with to-eat saying that hard for-the*
λάλῳ ἐστὶ σιωπᾶν, καὶ ὡς ἐν ὑγρῷ ἐστιν ἡ γλῶττα,
*talker it-is to-be-silent and that in moisture is the tongue*
καὶ ὅτι οὐκ ἂν σιωπήσειεν, οὐδ᾽ εἰ τῶν χελιδόνων
*and that not — he-would-be-silent not-even if than-the swallows*
δόξειεν εἶναι λαλίστερος.
*he-should-seem to-be more-talkative*
καὶ σκωπτόμενος ὑπομεῖναι καὶ ὑπὸ τῶν αὑτοῦ παιδίων, 10
*and being-mocked to-endure-(it) even by the his-own children*
ὅταν αὐτὸν ἤδη καθεύδειν βουλόμενα κελεύῃ λέγοντα
*whenever him already to-sleep wishing they-bid saying*
ταῦτα· “λαλεῖν τι ἡμῖν, ὅπως ἂν ἡμᾶς ὕπνος λάβῃ.”
*these-things to-chat something to-us so-that — us sleep may-take*

# Λογοποιίας

## VIII · THE RUMOR-MONGER

*Rumor-making is the invention of false news. The rumor-monger stops a friend to ask what is new, then tells him, on the word of a soldier or a flute-player's slave, that Polyperchon and the king have won and Cassander is taken. He laments Cassander and tells everyone in secret. Such men lose their cloaks at the baths and their suits by default while they talk.*

1 ἡ δὲ λογοποιία ἐστὶ σύνθεσις ψευδῶν λόγων καὶ πράξεων,
*the and rumor-making is a-composition of-false words and deeds*
ὧν πιστεύεσθαι βούλεται ὁ λογοποιῶν, ὁ δὲ λογοποιὸς
*which to-be-believed wishes the-one making-rumors the and rumor-monger*
τοιοῦτός τις,
*such a-one*
2 οἷος ἀπαντήσας τῷ φίλῳ εὐθὺς καταβαλὼν τὸ ἦθος
*such-as having-met the friend straightway having-let-drop the countenance*
καὶ μειδιάσας ἐρωτῆσαι· "πόθεν σύ"; καὶ "λέγεις τί
*and having-smiled to-ask from-where you and do-you-say anything*
καὶ πῶς"; "ἔχεις περὶ τοῦδε εἰπεῖν καινόν"; καὶ ὡς
*and how have-you about this to-say new and as*
ἐπιβαλὼν ἐρωτᾶν· "μὴ λέγεταί τι καινότερον; καὶ
*following-up to-ask perhaps is-said anything newer and*
μὴν ἀγαθά γέ ἐστι τὰ λεγόμενα."
*truly good at-least are the-things being-said*
3 καὶ οὐκ ἐάσας ἀποκρίνασθαι εἰπεῖν· "τί λέγεις; οὐθὲν
*and not having-let-(him) to-answer to-say what do-you-say nothing*
ἀκήκοας; δοκῶ μοί σε εὐωχήσειν καινῶν λόγων."
*you-have-heard I-think to-me you to-be-going-to-feast with-new tales*

καὶ ἔστιν αὐτῷ ἢ στρατιώτης ἢ παῖς Ἀστείου τοῦ 4
*and there-is to-him either a-soldier or a-slave of-Asteius the*
αὐλητοῦ ἢ Λύκων ὁ ἐργολάβος παραγεγονὼς ἐξ αὐτῆς
*flute-player or Lycon the contractor having-arrived from the-very*
τῆς μάχης, οὗ φησιν ἀκηκοέναι.
*the battle from-whom he-says to-have-heard*
αἱ μὲν οὖν ἀναφοραὶ τῶν λόγων τοιαῦταί εἰσιν αὐτοῦ, 5
*the indeed then references of-the tales such are his*
ὧν οὐθεὶς ἂν ἔχοι ἐπιλαβέσθαι.
*which no-one — could to-lay-hold-of*
διηγεῖται δὲ τούτους φάσκων λέγειν, ὡς Πολυπέρχων καὶ 6
*he-narrates and these-men claiming to-say that Polyperchon and*
ὁ βασιλεὺς μάχῃ νενίκηκεν, καὶ Κάσανδρος ἐζώγρηται·
*the king in-battle has-conquered and Cassander has-been-taken-alive*
καὶ ἂν εἴπῃ τις αὐτῷ· "σὺ δὲ ταῦτα πιστεύεις;" φήσει· 7
*and if says anyone to-him you and these-things do-you-believe he-will-say*
τὸ πρᾶγμα βοᾶσθαι γὰρ ἐν τῇ πόλει, καὶ τὸν λόγον
*the matter to-be-shouted for in the city and the story*
ἐπεντείνειν, καὶ πάντας συμφωνεῖν· ταὐτὰ γὰρ λέγειν
*to-gain-strength and all to-agree the-same-things for to-say*
περὶ τῆς μάχης· καὶ πολὺν τὸν ζωμὸν γεγονέναι.
*about the battle and much the slaughter-broth to-have-been*
εἶναι δ' ἑαυτῷ καὶ σημεῖον τὰ πρόσωπα τῶν ἐν τοῖς 8
*to-be and for-himself also a-sign the faces of-those in the*
πράγμασιν· ὁρᾶν γὰρ αὐτῶν πάντων μεταβεβληκότα· λέγει
*affairs to-see for of-them all changed he-says*
δ', ὡς καὶ παρακήκοε παρὰ τούτοις κρυπτόμενόν τινα
*and that also he-has-overheard among these hiding someone*
ἐν οἰκίᾳ, ἤδη πέμπτην ἡμέραν ἥκοντα ἐκ Μακεδονίας,
*in a-house already fifth day having-come from Macedonia*
ὃς πάντα ταῦτα οἶδε.
*who all these-things knows*

9 καὶ πάντα διεξιών πως οἴεσθαι πιθανῶς σχετλιάζειν
*and all-things going-through somehow to-think plausibly to-lament*
λέγων· "δυστυχὴς Κάσανδρος· ὢ ταλαίπωρος· ἐνθυμῇ
*saying unlucky Cassander O wretched do-you-consider*
τὸ τῆς τύχης; ἀλλ' οὖν ἰσχυρὸς γενόμενος."
*the-thing of-the fortune but anyway strong having-become*
10 καί "δεῖ δ' αὐτόν σε μόνον εἰδέναι"· πᾶσι δὲ τοῖς ἐν
*and it-is-needful too yourself you only to-know to-all but those in*
τῇ πόλει προσδεδράμηκε λέγων.
*the city he-has-run-up-to saying*
11 τῶν τοιούτων ἀνθρώπων τεθαύμακα, τί ποτε βούλονται
*at-the such men I-have-wondered what ever they-want*
λογοποιοῦντες· οὐ γὰρ μόνον ψεύδονται, ἀλλὰ καὶ
*making-rumors not for only they-lie but also*
ἀλυσιτελῶς ἀπαλλάττουσι·
*unprofitably they-come-off*
12 πολλάκις γὰρ αὐτῶν οἱ μὲν ἐν τοῖς βαλανείοις περιστάσεις
*often for of-them some indeed in the baths crowds*
ποιούμενοι τὰ ἱμάτια ἀποβεβλήκασιν, οἱ δ' ἐν τῇ στοᾷ
*making the cloaks have-lost others and in the stoa*
πεζομαχίᾳ καὶ ναυμαχίᾳ νικῶντες ἐρήμους δίκας ὠφλήκασιν·
*in-land-battle and sea-battle conquering undefended lawsuits have-lost*
13 εἰσὶ δ' οἳ καὶ πόλεις τῷ λόγῳ κατὰ κράτος
*there-are and those-who also cities by-the word by force*
αἱροῦντες παρεδειπνήθησαν.
*taking have-missed-their-dinner*
14 πάνυ δὴ ταλαίπωρον αὐτῶν ἐστι τὸ ἐπιτήδευμα· ποίᾳ
*very indeed wretched their is the practice in-what*
γὰρ οὐ στοᾷ, ποίῳ δὲ ἐργαστηρίῳ, ποίῳ δὲ μέρει
*for not stoa in-what and workshop in-what and part*

τῆς ἀγορᾶς οὐκ ἐνημερεύουσιν ἀπαυδᾶν ποιοῦντες τοὺς
*of-the market not they-spend-the-day to-give-up making those*
ἀκούοντας·
*listening*
οὕτως καὶ καταπονοῦσι ταῖς ψευδολογίαις. 15
*so also they-wear-out-(them) with-the lies*

## Ἀναισχυντίας

### IX · THE SHAMELESS MAN

*Shamelessness is disregard of reputation for base gain. The shameless man borrows from the man he has cheated, salts away his sacrifice and dines elsewhere, reminds the butcher of his services and snatches tripe, brings his sons to a show on another's tickets, and bathes from the bath-man's cauldron while the man shouts, saying, "No thanks to you."*

ἡ δὲ ἀναισχυντία ἐστὶ μέν, ὡς ὅρῳ λαβεῖν, 1
*the and shamelessness is indeed as in-a-definition to-take*
καταφρόνησις δόξης αἰσχροῦ ἕνεκα κέρδους, ὁ δὲ
*a-contempt of-reputation of-shameful for-the-sake-of gain the and*
ἀναίσχυντος τοιοῦτός τις,
*shameless-man such a-one*
οἷος πρῶτον μὲν ὃν ἀποστερεῖ, πρὸς τοῦτον ἀπελθὼν 2
*such-as first indeed whom he-defrauds to this-man having-gone*
δανείζεσθαι, εἶτα θύσας τοῖς θεοῖς αὐτὸς μὲν
*to-borrow then having-sacrificed to-the gods himself indeed*
δειπνεῖν παρ' ἑτέρῳ, τὰ δὲ κρέα ἀποτιθέναι ἁλσὶ
*to-dine with another the and meats to-put-away with-salt*
πάσας.
*having-sprinkled-(them)*

3 καὶ προσκαλεσάμενος τὸν ἀκόλουθον δοῦναι ἀπὸ τῆς
*and having-called-to-(him) the attendant to-give from the*
τραπέζης ἄρας κρέας καὶ ἄρτον καὶ εἰπεῖν ἀκουόντων
*table having-lifted meat and bread and to-say listening*
πάντων· "εὐωχοῦ, Τίβειε."
*all feast Tibius*

4 καὶ ὀψωνῶν δὲ ὑπομιμνήσκειν τὸν κρεωπώλην, εἴ τι
*and buying-food too to-remind the butcher if in-anything*
χρήσιμος αὐτῷ γέγονε, καὶ ἑστηκὼς πρὸς τῷ σταθμῷ
*useful to-him he-has-been and standing at the scales*
μάλιστα μὲν κρέας, εἰ δὲ μή, ὀστοῦν εἰς τὸν ζωμὸν ἐμβαλεῖν,
*best indeed meat if but not a-bone into the soup to-throw*
καὶ ἐὰν μὲν λάβῃ, εὖ ἔχει, εἰ δὲ μή, ἁρπάσας ἀπὸ
*and if indeed he-gets-(it) well it-is if but not having-snatched from*
τῆς τραπέζης χολίκιον ἅμα γελῶν ἀπαλλάττεσθαι.
*the counter a-bit-of-tripe at-the-same-time laughing to-go-off*

5 καὶ ξένοις δὲ αὑτοῦ θέαν ἀγοράσας μὴ δοὺς τὸ μέρος
*and for-guests too his-own a-seat having-bought not having-given the share*
θεωρεῖν, ἄγειν δὲ καὶ τοὺς υἱεῖς εἰς τὴν ὑστεραίαν καὶ
*to-watch to-bring and also the sons on the next-day and*
τὸν παιδαγωγόν.
*the tutor*

6 καὶ ὅσα ἐωνημένος ἄξιά τις φέρει, μεταδοῦναι
*and as-many-things having-bought worth-the-price anyone brings to-share*
κελεῦσαι καὶ αὐτῷ.
*to-bid also with-himself*

7 καὶ ἐπὶ τὴν ἀλλοτρίαν οἰκίαν ἐλθὼν δανείζεσθαι κριθάς,
*and to the another's house having-gone to-borrow barley*
ποτὲ δὲ ἄχυρα, καὶ ταῦτα τοὺς χρήσαντας ἀναγκάσαι
*at-times and chaff and these-things those having-lent to-compel*
ἀποφέρειν πρὸς αὐτόν.
*to-carry-back to him*

δεινὸς δὲ καὶ πρὸς τὰ χαλκεῖα τὰ ἐν τῷ βαλανείῳ 8
*clever and also to the bronze-cauldrons the-ones in the bath*
προσελθὼν καὶ βάψας ἀρύταιναν βοῶντος τοῦ βαλανέως
*having-gone-up and having-dipped a-ladle shouting the bath-man*
αὐτὸς αὑτοῦ καταχέασθαι καὶ εἰπεῖν ὅτι λέλουται ἀπιὼν
*himself over-himself to-pour-down and to-say that he-has-bathed going-off*
κἀκεῖ "οὐδεμία σοι χάρις".
*and-there no thanks to-you*

## Μικρολογίας

### X · THE PETTY MAN

*Pettiness is saving beyond the occasion. The petty man counts his fellow diners' cups, docks his house-slaves' rations for broken pots, has the house turned over for a lost coin, forbids anyone to pick up a fallen olive or date, and checks his boundaries daily. His wife may lend nothing, his money-chests are moldy, and he wears short cloaks and sends them to the fuller with plenty of clay.*

ἔστι δὲ ἡ μικρολογία φειδωλία τοῦ διαφόρου ὑπὲρ τὸν 1
*is and the pettiness a-sparing of-the expense beyond the*
καιρόν, ὁ δὲ μικρολόγος τοιοῦτός τις,
*occasion the and petty-man such a-one*
οἷος ἐν τῷ μηνὶ ἡμιωβόλιον ἀπαιτεῖν ἐπὶ τὴν οἰκίαν. 2
*such-as in the month a-half-obol to-demand going-to the house*
καὶ [ὁ] συσσιτῶν ἀριθμεῖν τὰς κύλικας, πόσας ἕκαστος 3
*and — messing-together to-count the cups how-many each*
πέπωκε, καὶ ἀπάρχεσθαι ἐλάχιστον τῇ Ἀρτέμιδι τῶν
*has-drunk and to-offer-the-first-fruits the-least — to-Artemis of-those*
συνδειπνούντων.
*dining-together*

4 καὶ ὅσα μικροῦ τις πριάμενος λογίζεται, πάντα φάσκων
*and whatever for-little anyone having-bought reckons all-things claiming*
εἶναι.
*to-be*

5 καὶ οἰκέτου χύτραν [εἶναι] ἢ λοπάδα κατάξαντος
*and a-house-slave a-pot — or a-dish having-broken*
εἰσπρᾶξαι ἀπὸ τῶν ἐπιτηδείων.
*to-exact-(the-cost) from the provisions*

6 καὶ τῆς γυναικὸς ἐκβαλούσης τρίχαλκον οἷος μεταφέρειν
*and the wife having-dropped a-three-copper-piece such-as to-move*
τὰ σκεύη καὶ τὰς κλίνας καὶ τὰς κιβωτοὺς καὶ διφᾶν
*the furniture and the couches and the chests and to-grope-through*
τὰ καλύμματα.
*the coverings*

7 καὶ ἐάν τι πωλῇ, τοσούτου ἀποδόσθαι, ὥστε μὴ
*and if anything he-sells for-so-much to-sell-(it) so-that not*
λυσιτελεῖν τῷ πριαμένῳ.
*to-profit the-one having-bought*

8 καὶ οὐκ ἂν ἐᾶσαι οὔτε συκοτραγῆσαι ἐκ τοῦ αὑτοῦ
*and not — to-allow neither to-eat-figs from the his-own*
κήπου οὔτε διὰ τοῦ αὑτοῦ ἀγροῦ πορευθῆναι οὔτε ἐλάαν
*garden nor through the his-own field to-go nor an-olive*
ἢ φοίνικα τῶν χαμαὶ πεπτωκότων ἀνελέσθαι.
*or a-date of-those on-the-ground having-fallen to-pick-up*

9 καὶ τοὺς ὅρους δ' ἐπισκοπεῖσθαι ὁσημέραι εἰ
*and the boundaries and to-inspect daily whether*
διαμένουσιν οἱ αὐτοί.
*remain the same*

10 δεινὸς δὲ καὶ ὑπερημερίαν πρᾶξαι καὶ τόκον τόκου.
*clever and also an-overdue-fine to-exact and interest on-interest*

11 καὶ ἑστιῶν τοὺς δημότας μικρὰ τὰ κρέα κόψας παραθεῖναι.
*and feasting the demesmen small the meats having-cut to-serve*

καὶ ὀψωνῶν μηθὲν πριάμενος εἰσελθεῖν. 12
*and buying-food nothing having-bought to-come-in*

καὶ ἀπαγορεῦσαι τῇ γυναικὶ μήτε ἅλας χρηννύειν μήτε 13
*and to-forbid the wife neither salt to-lend nor*

ἐλλύχνιον μήτε κύμινον μήτε ὀρίγανον μήτε ὀλὰς μήτε
*a-lamp-wick nor cumin nor marjoram nor barley-meal nor*

στέμματα μήτε θυηλήματα, ἀλλὰ λέγειν, ὅτι τὰ μικρὰ
*garlands nor sacrificial-cakes but to-say that the small-things*

ταῦτα πολλά ἐστι τοῦ ἐνιαυτοῦ.
*these much are in-the year*

καὶ τὸ ὅλον δὲ τῶν μικρολόγων καὶ τὰς ἀργυροθήκας 14
*and the whole and of-the petty-men and the money-chests*

ἔστιν ἰδεῖν εὐρωτιώσας καὶ τὰς κλεῖς ἰωμένας, καὶ αὐτοὺς
*it-is to-see moldy and the keys rusted and themselves*

δὲ φοροῦντας ἐλάττω τῶν μικρῶν τὰ ἱμάτια, καὶ
*too wearing shorter than-the small-ones the cloaks and*

ἐκ ληκυθίων μικρῶν πάνυ ἀλειφομένους, καὶ ἐν χρῷ
*from oil-flasks small very anointing-themselves and to the-skin*

κειρομένους, καὶ τὸ μέσον τῆς ἡμέρας ὑποδυμένους, καὶ
*shaving-themselves and the middle of-the day putting-on-shoes and*

πρὸς τοὺς γναφεῖς διατεινομένους, ὅπως τὸ ἱμάτιον αὐτοῖς
*to the fullers insisting that the cloak for-them*

ἕξει πολλὴν γῆν, ἵνα μὴ ῥυπαίνηται ταχύ.
*will-have much earth so-that not it-get-dirty quickly*

# Βδελυρίας

## XI · THE OFFENSIVE MAN

*Offensiveness is open and reproachful jesting. The offensive man exposes himself to free women, claps when others stop and hisses actors they like, belches in a silent theater, eats from the fruit-stalls, hails strangers by name, congratulates a man who has lost a suit, and tells the barber's shop that he means to get drunk.*

1 οὐ χαλεπὸν δέ ἐστι τὴν βδελυρίαν διορίσασθαι· ἔστι
*not hard and it-is the offensiveness to-define it-is*
γὰρ παιδιὰ ἐπιφανὴς καὶ ἐπονείδιστος, ὁ δὲ βδελυρὸς
*for jesting conspicuous and reproachful the and offensive-man*
τοιοῦτός τις,
*such a-one*

2 οἷος ἀπαντήσας γυναιξὶν ἐλευθέραις ἀνασυράμενος
*such-as having-met women free having-pulled-up-(his-dress)*
δεῖξαι τὸ αἰδοῖον.
*to-show the private-parts*

3 καὶ ἐν θεάτρῳ κροτεῖν, ὅταν οἱ ἄλλοι παύωνται, καὶ
*and in theater to-clap when the others stop and*
συρίττειν, οὓς ἡδέως θεωροῦσιν οἱ λοιποί· καὶ ὅταν
*to-hiss whom with-pleasure watch the rest and when*
σιωπήσῃ τὸ θέατρον, ἀνακύψας ἐρυγεῖν, ἵνα τοὺς
*is-silent the theater having-lifted-his-head to-belch so-that those*
καθημένους ποιήσῃ μεταστραφῆναι.
*sitting he-may-make to-turn-around*

4 καὶ πληθούσης τῆς ἀγορᾶς προσελθὼν πρὸς τὰ κάρυα
*and being-full the market having-gone-up to the nuts*
ἢ τὰ μύρτα ἢ τὰ ἀκρόδρυα ἑστηκὼς τραγηματίζεσθαι,
*or the myrtle-berries or the fruits standing to-eat-sweetmeats*

ἅμα τῷ πωλοῦντι προσλαλῶν· καὶ καλέσαι δὲ
*at-the-same-time with-the seller chatting and to-call too*
τῶν παρόντων ὀνομαστί τινα, ᾧ μὴ συνήθης ἐστί.
*of-those present by-name someone with-whom not acquainted he-is*
καὶ σπεύδοντας δέ που ὁρῶν περιμεῖναι κελεῦσαι. 5
*and hurrying too somewhere seeing to-wait to-bid-(them)*
καὶ ἡττωμένῳ δὲ μεγάλην δίκην ἀπιόντι ἀπὸ τοῦ 6
*and being-defeated too in-a-great lawsuit going-away from the*
δικαστηρίου προσελθεῖν καὶ συνησθῆναι.
*court to-go-up and to-rejoice-with-(him)*
καὶ ὀψωνεῖν ἑαυτῷ καὶ αὐλητρίδας μισθοῦσθαι καὶ δεικνύειν 7
*and to-buy-food for-himself and flute-girls to-hire and to-show*
δὲ τοῖς ἀπαντῶσι τὰ ὠψωνημένα καὶ παρακαλεῖν ἐπὶ
*too to-those meeting-(him) the-things bought and to-invite to*
ταῦτα.
*these-things*
καὶ διηγεῖσθαι προσστὰς πρὸς κουρεῖον ἢ μυροπώλιον, 8
*and to-relate standing-by at a-barber's or a-perfumer's*
ὅτι μεθύσκεσθαι μέλλει.
*that to-get-drunk he-intends*

# Ἀκαιρίας

## XII · THE TACTLESS MAN

*Tactlessness is a meeting that pains those met. The tactless man consults a busy man, serenades his mistress when she has a fever, comes to testify after the verdict, abuses women at a wedding, invites a tired traveler for a walk, finds a higher bidder after the sale, and demands interest from men in the middle of a sacrifice. Beside a slave being whipped he tells how a slave of his own once hanged himself after such a beating, and he wrecks a settlement both parties want.*

1 ἡ μὲν οὖν ἀκαιρία ἐστὶν ἐπίτευξις λυποῦσα τοὺς
*the indeed then tactlessness is a-hitting-upon paining those*
ἐντυγχάνοντας, ὁ δὲ ἄκαιρος τοιοῦτός τις,
*meeting-(him) the and tactless-man such a-one*
2 οἷος ἀσχολουμένῳ προσελθὼν ἀνακοινοῦσθαι.
*such-as one-busy having-gone-up to-consult*
3 καὶ πρὸς τὴν αὑτοῦ ἐρωμένην κωμάζειν πυρέττουσαν.
*and to the his-own mistress to-go-reveling having-a-fever*
4 καὶ δίκην ὠφληκότα ἐγγύης προσελθὼν κελεῦσαι αὐτὸν
*and a-suit one-having-lost on-a-surety having-gone-up to-bid him*
ἀναδέξασθαι.
*to-stand-surety*
5 καὶ μαρτυρήσων παρεῖναι τοῦ πράγματος ἤδη
*and to-be-going-to-bear-witness to-be-present the matter already*
κεκριμένου.
*having-been-judged*
6 καὶ κεκλημένος εἰς γάμους τοῦ γυναικείου γένους
*and having-been-invited to a-wedding the female sex*
κατηγορεῖν.
*to-accuse*

καὶ ἐκ μακρᾶς ὁδοῦ ἥκοντα ἄρτι παρακαλεῖν εἰς 7
*and from a-long road having-come just-now to-invite to*
περίπατον.
*a-walk*
δεινὸς δὲ καὶ προσάγειν ὠνητὴν πλείω διδόντα ἤδη 8
*clever and also to-bring a-buyer more giving already*
πεπρακότι.
*to-one-having-sold*
καὶ ἀκηκοότας 9
*and those-having-heard*
καὶ μεμαθηκότας ἀνίστασθαι ἐξ ἀρχῆς διδάσκων. 10
*and having-learned to-stand-up from the-beginning teaching*
καὶ πρόθυμος δὲ ἐπιμεληθῆναι, ἃ μὴ βούλεταί τις 11
*and eager too to-take-care-of what not wishes anyone*
γενέσθαι, αἰσχύνεται δὲ ἀπείπασθαι.
*to-happen is-ashamed but to-refuse*
καὶ θύοντας καὶ ἀναλίσκοντας ἥκειν τόκον ἀπαιτήσων. 12
*and those-sacrificing and spending to-come interest to-be-going-to-demand*
καὶ μαστιγουμένου οἰκέτου παρεστὼς διηγεῖσθαι,
*and being-whipped a-house-slave standing-by to-relate*
ὅτι καὶ αὐτοῦ ποτε παῖς οὕτως πληγὰς λαβὼν ἀπήγξατο. 13
*that also his-own once slave thus blows having-taken hanged-himself*
καὶ παρὼν διαίτῃ συγκρούειν, ἀμφοτέρων βουλομένων 14
*and being-present at-an-arbitration to-make-a-clash both wishing*
διαλύεσθαι.
*to-be-reconciled*
καὶ ὀρχησόμενος ἅψασθαι ἑτέρου μηδέπω μεθύοντος. 15
*and to-be-going-to-dance to-take-hold-of another not-yet being-drunk*

# Περιεργίας

## XIII · THE OFFICIOUS MAN

*Officiousness is a pretense of helping with words and deeds. The officious man promises what he cannot deliver, objects to a point already agreed and is refuted, makes the slave mix more wine than the guests can drink, parts strangers who are fighting, leads the way by a shortcut and loses it, asks the general his plans, gives wine to a patient against the doctor's orders, and inscribes the whole family on his wife's tomb, adding that they were all good. About to take an oath, he tells the bystanders he has sworn often before.*

1 ἀμέλει ἡ περιεργία δόξει εἶναι προσποίησίς τις λόγων
*of-course the officiousness will-seem to-be a-pretense some of-words*
καὶ πράξεων μετὰ εὐνοίας, ὁ δὲ περίεργος τοιοῦτός τις,
*and of-deeds with goodwill the and officious-man such a-one*
2 οἷος ἐπαγγέλλεσθαι [ἀναστάς], ἃ μὴ δυνήσεται.
*such-as to-promise — what not he-will-be-able*
3 καὶ ὁμολογουμένου τοῦ πράγματος δικαίου εἶναι ἀνταναστὰς
*and being-agreed the matter just to-be standing-up-against*
ἐλεγχθῆναι.
*to-be-refuted*
4 καὶ πλείω δὲ ἐπαναγκάσαι τὸν παῖδα κεράσαι, ἢ ὅσα
*and more too to-compel the slave to-mix than as-much-as*
δύνανται οἱ παρόντες ἐκπιεῖν.
*are-able those present to-drink-up*
5 καὶ διείργειν τοὺς μαχομένους, καὶ οὓς οὐ γιγνώσκει.
*and to-separate those fighting even whom not he-knows*
6 καὶ ἀτραποῦ ἡγήσασθαι, εἶτα μὴ δύνασθαι εὑρεῖν, οὗ
*and a-path to-lead then not to-be-able to-find where*
πορεύεται.
*he-is-going*

καὶ τὸν στρατηγὸν προσελθὼν ἐρωτῆσαι, πότε μέλλει 7
*and the general approaching to-ask when he-intends*
παρατάττεσθαι, καὶ τί μετὰ τὴν αὔριον παραγγελεῖ.
*to-draw-up-for-battle and what after the tomorrow he-will-order*
καὶ προσελθὼν τῷ πατρὶ εἰπεῖν, ὅτι ἡ μήτηρ ἤδη 8
*and approaching the father to-say that the mother already*
καθεύδει ἐν τῷ δωματίῳ.
*sleeps in the bedroom*
καὶ ἀπαγορεύοντος τοῦ ἰατροῦ, ὅπως μὴ δώσει οἶνον 9
*and forbidding the doctor that not he-shall-give wine*
τῷ μαλακιζομένῳ, φήσας βούλεσθαι διάπειραν λαμβάνειν
*to-the-one being-sick saying to-wish a-trial to-make*
εὐτρεπίσαι τὸν κακῶς ἔχοντα.
*to-set-right the-one badly being*
καὶ γυναικὸς δὲ τελευτησάσης ἐπιγράψαι ἐπὶ τὸ μνῆμα 10
*and a-wife too having-died to-inscribe on the monument*
τοῦ τε ἀνδρὸς αὐτῆς καὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς
*of-the both husband her and of-the father and of-the mother*
καὶ αὐτῆς τῆς γυναικὸς τοὔνομα καὶ ποδαπή ἐστι, καὶ
*and of-herself the wife the-name and from-where she-is and*
προσεπιγράψαι, ὅτι οὗτοι πάντες χρηστοὶ ἦσαν·
*to-add-in-writing that these all good were*
καὶ ὀμνύναι μέλλων εἰπεῖν πρὸς τοὺς περιεστηκότας, ὅτι 11
*and to-swear intending to-say to those standing-around that*
“καὶ πρότερον πολλάκις ὀμώμοκα”.
*also before often I-have-sworn*

# Ἀναισθησίας

## XIV · THE STUPID MAN

*Stupidity is slowness of mind in speech and action. The stupid man adds up a sum and asks what it comes to, forgets his trial and goes to the country, is left asleep alone in the theater, is bitten by the neighbor's dog at night, and says "Good luck" when told a friend has died. When it rains he says the stars smell sweet, and asked how many dead have been carried out through the Sacred Gate he answers, "As many as I could wish for you and me."*

1 ἔστι δὲ ἡ ἀναισθησία, ὡς ὅρῳ εἰπεῖν, βραδυτὴς
*is and the stupidity as in-a-definition to-say a-slowness*
ψυχῆς ἐν λόγοις καὶ πράξεσιν,
*of-soul in words and deeds*
2 ὁ δὲ ἀναίσθητος τοιοῦτός τις, οἷος λογισάμενος
*the and stupid-man such a-one such-as having-reckoned*
ταῖς ψήφοις καὶ κεφάλαιον ποιήσας ἐρωτᾶν τὸν
*with-the counters and a-total having-made to-ask the-one*
παρακαθήμενον· "τί γίγνεται";
*sitting-by what it-comes-to*
3 καὶ δίκην φεύγων καὶ ταύτην εἰσιέναι μέλλων ἐπιλαθόμενος
*and a-suit defending and this to-come-in intending having-forgotten*
εἰς ἀγρὸν πορεύεσθαι.
*into the-country to-go*
4 καὶ θεωρῶν ἐν τῷ θεάτρῳ μόνος καταλείπεσθαι καθεύδων.
*and watching in the theater alone to-be-left sleeping*
καὶ πολλὰ φαγών,
*and much having-eaten*
5 τῆς νυκτὸς ἀναστὰς ὡς ἐπὶ θάκου ὑπὸ κυνὸς τῆς τοῦ
*in-the night having-got-up as to the-privy by a-dog the of-the*
γείτονος δηχθῆναι.
*neighbor to-be-bitten*

καὶ λαβών τι καὶ ἀποθεὶς αὐτός, τοῦτο ζητεῖν 6
*and having-taken something and having-put-away himself this to-look-for*
καὶ μὴ δύνασθαι εὑρεῖν.
*and not to-be-able to-find-(it)*
καὶ ἀπαγγέλλοντος αὐτῷ, ὅτι τετελεύτηκέ τις αὐτοῦ 7
*and reporting to-him that has-died someone his*
τῶν φίλων, ἵνα παραγένηται, σκυθρωπάσας καὶ δακρύσας
*of-the friends so-that he-may-attend having-looked-sad and having-wept*
εἰπεῖν· "ἀγαθῇ τύχῃ."
*to-say with-good fortune*
δεινὸς δὲ καὶ ἀπολαμβάνων ἀργύριον ὀφειλόμενον μάρτυρας 8
*clever and also receiving-back silver owed witnesses*
παραλαβεῖν.
*to-take-along*
καὶ χειμῶνος ὄντος μάχεσθαι τῷ παιδί, ὅτι σικύους 9
*and winter being to-quarrel with-the slave because cucumbers*
οὐκ ἠγόρασεν.
*not he-bought*
καὶ τὰ παιδία ἑαυτοῦ παλαίειν ἀναγκάζων καὶ τροχάζειν 10
*and the children his-own to-wrestle compelling and to-run*
[καὶ] εἰς κόπον ἐμβαλεῖν.
*— into exhaustion to-throw-(them)*
καὶ ἐν ἀγρῷ αὐτὸς φακῆν ἕψων δὶς ἅλας εἰς τὴν 11
*and in the-country himself lentil-soup boiling twice salt into the*
χύτραν ἐμβαλὼν ἄβρωτον ποιῆσαι.
*pot having-thrown inedible to-make-(it)*
καὶ ὕοντος τοῦ Διὸς εἰπεῖν· "ἡδύ γε τῶν ἄστρων 12
*and raining — Zeus to-say sweet at-least of-the stars*
νομίζει," ὅτι δὴ καὶ οἱ ἄλλοι λέγουσι πίσσης.
*he-thinks-(it) that indeed also the others say of-pitch*

13 καὶ λέγοντός τινος· "πόσους οἴει κατὰ τὰς Ἱερὰς
*and saying someone how-many do-you-think through the sacred*
πύλας ἐξενηνέχθαι νεκρούς;" πρὸς τοῦτον εἰπεῖν·
*gates to-have-been-carried-out dead to this-one to-say*
"ὅσοι ἐμοὶ καὶ σοὶ γένοιντο."
*as-many-as to-me and to-you may-there-be*

## Αὐθαδείας

### XV · THE SURLY MAN

*Surliness is harshness in conversation. The surly man answers a question with "Don't bother me," does not return a greeting, will not name his price, refuses gifts, forgives no one who jostles him, pays a club contribution only after refusing it and grumbles at the loss, curses the stone he trips on, waits for nobody, will not sing, recite, or dance, and will not even pray to the gods.*

1 ἡ δὲ αὐθάδειά ἐστιν ἀπήνεια ὁμιλίας ἐν λόγοις, ὁ δὲ
*the and surliness is a-harshness of-dealings in words the and*
αὐθάδης τοιοῦτός τις,
*surly-man such a-one*
2 οἷος ἐρωτηθείς· "ὁ δεῖνα ποῦ ἐστιν;" εἰπεῖν· "πράγματά
*such-as having-been-asked the so-and-so where is to-say troubles*
μοι μὴ πάρεχε"·
*to-me not cause*
3 καὶ προσαγορευθεὶς μὴ ἀντιπροσειπεῖν.
*and having-been-greeted not to-greet-in-return*
4 καὶ πωλῶν τι μὴ λέγειν τοῖς ὠνουμένοις, πόσου
*and selling something not to-tell those buying for-how-much*
ἂν ἀποδοῖτο, ἀλλ' ἐρωτᾶν, τί εὑρίσκει.
*— he-would-sell but to-ask what it-fetches*

καὶ τοῖς τιμῶσι καὶ πέμπουσιν εἰς τὰς ἑορτὰς εἰπεῖν, 5
*and to-those honoring-(him) and sending-(gifts) at the feasts to-say*
ὅτι οὐκ ἂν γένοιτο διδόμενα·
*that not — there-would-be gifts-given*
καὶ οὐκ ἔχειν συγγνώμην οὔτε τῷ ἀπώσαντι αὐτὸν 6
*and not to-have pardon neither for-the-one pushing him*
ἀκουσίως [οὔτε τῷ ὤσαντι] οὔτε τῷ ἐμβάντι.
*involuntarily — — — nor for-the-one treading-on-(him)*
καὶ φίλῳ δὲ ἔρανον κελεύσαντι εἰσενεγκεῖν εἰπών, 7
*and to-a-friend too a-contribution having-bid-(him) to-pay-in having-said*
ὅτι οὐκ ἂν δοίη, ὕστερον ἥκειν φέρων καὶ λέγειν,
*that not — he-would-give later to-come bringing-(it) and to-say*
ὅτι ἀπόλλυσι καὶ τοῦτο τὸ ἀργύριον.
*that he-loses also this the silver*
καὶ προσπταίσας ἐν τῇ ὁδῷ δεινὸς καταράσασθαι τῷ λίθῳ· 8
*and having-stumbled in the road clever to-curse the stone*
καὶ [ἀναμεῖναι] οὐκ ἂν ὑπομεῖναι πολὺν χρόνον οὐθένα. 9
*and — not — to-endure long time for-anyone*
καὶ οὔτε ᾆσαι οὔτε ῥῆσιν εἰπεῖν οὔτε ὀρχήσασθαι ἂν 10
*and neither to-sing nor a-speech to-recite nor to-dance —*
ἠθέλησε.
*he-would-have-been-willing*
δεινὸς δὲ καὶ τοῖς θεοῖς μὴ ἐπεύχεσθαι. 11
*clever and also to-the gods not to-pray*

# Δεισιδαιμονίας

## XVI · THE SUPERSTITIOUS MAN

*Superstition is cowardice toward the divine. The superstitious man walks about with laurel in his mouth, stops if a weasel crosses his path, anoints the stones at the crossroads, and, when a mouse gnaws his sack and the interpreter tells him to have it sewn up, makes an expiatory sacrifice instead. He purifies his house, avoids tombs and childbeds, consults dream-readers, and goes for initiation every month. At the sight of a madman he spits into his bosom.*

1 ἀμέλει ἡ δεισιδαιμονία δόξειεν ἂν εἶναι δειλία πρὸς τὸ
*of-course the superstition would-seem — to-be a-cowardice toward the*
δαιμόνιον, ὁ δὲ δεισιδαίμων τοιοῦτός τις,
*divine the and superstitious-man such a-one*
2 οἷος ἐπιχρωνῆν ἀπονιψάμενος τὰς χεῖρας καὶ περιρρανάμενος
*such-as at-a-spring having-washed-off the hands and having-sprinkled-himself*
ἀπὸ ἱεροῦ δάφνην εἰς τὸ στόμα λαβὼν οὕτω τὴν
*from a-temple a-laurel-leaf into the mouth having-taken so the*
ἡμέραν περιπατεῖν.
*day to-walk-about*
3 καὶ τὴν ὁδὸν ἐὰν ὑπερδράμῃ γαλῆ, μὴ πρότερον
*and the road if runs-across a-weasel not before*
πορευθῆναι, ἕως διεξέλθῃ τις ἢ λίθους τρεῖς ὑπὲρ
*to-go until has-passed-through someone or stones three over*
τῆς ὁδοῦ διαβάλῃ.
*the road he-has-thrown*
4 καὶ ἐὰν ἴδῃ ὄφιν ἐν τῇ οἰκίᾳ, ἐὰν παρείαν, Σαβάδιον
*and if he-sees a-snake in the house if-(it-is) a-red-one Sabazius*
καλεῖν, ἐὰν δὲ ἱερόν, ἐνταῦθα ἡρῷον εὐθὺς ἱδρύσασθαι.
*to-call-on if but a-sacred-one there a-hero-shrine straightway to-set-up*

καὶ τῶν λιπαρῶν λίθων τῶν ἐν ταῖς τριόδοις παριὼν ἐκ 5
*and of-the shining stones those at the crossroads passing from*
τῆς ληκύθου ἔλαιον καταχεῖν καὶ ἐπὶ γόνατα πεσὼν καὶ
*the oil-flask oil to-pour-down and on knees having-fallen and*
προσκυνήσας ἀπαλλάττεσθαι.
*having-done-obeisance to-go-away*

καὶ ἐὰν μῦς θύλακον ἀλφίτων διαφάγῃ, πρὸς τὸν 6
*and if a-mouse a-sack of-barley-meal gnaws-through to the*
ἐξηγητὴν ἐλθὼν ἐρωτᾶν, τί χρὴ ποιεῖν· καὶ ἐὰν
*interpreter having-gone to-ask what one-must to-do and if*
ἀποκρίνηται αὐτῷ ἐκδοῦναι τῷ σκυτοδέψῃ ἐπιρράψαι, μὴ
*he-answers to-him to-give-(it) to-the leather-worker to-sew-up not*
προσέχειν τούτοις, ἀλλ᾽ ἀποτραπὲις ἐκθύσασθαι.
*to-attend to-these-things but having-turned-away to-make-an-expiatory-sacrifice*

καὶ πυκνὰ δὲ τὴν οἰκίαν καθᾶραι δεινὸς Ἑκάτης φάσκων 7
*and frequently too the house to-purify clever of-Hecate claiming*
ἐπαγωγὴν γεγονέναι·
*a-visitation to-have-occurred*

κἂν γλαῦκες βαδίζοντος αὐτοῦ ἀνακράγωσι, ταράττεσθαι 8
*and-if owls walking he hoot to-be-upset*
καὶ εἴπας· "Ἀθηνᾶ κρείττων" παρελθεῖν οὕτω.
*and having-said Athena is-stronger to-pass-by thus*

καὶ οὔτε ἐπιβῆναι μνήματι οὔτ᾽ ἐπὶ νεκρὸν οὔτ᾽ ἐπὶ 9
*and neither to-step-upon a-tomb nor to a-corpse nor to*
λεχὼ ἐλθεῖν ἐθελῆσαι, ἀλλὰ τὸ μὴ μιαίνεσθαι
*a-woman-in-childbed to-go to-be-willing but the not to-be-defiled*
συμφέρον αὑτῷ φῆσαι εἶναι.
*advantageous to-himself to-say to-be*

καὶ ταῖς τετράσι δὲ καὶ ταῖς ἑβδομάσι προστάξας 10
*and on-the fourths and also on-the sevenths having-ordered*
οἶνον ἕψειν τοῖς ἔνδον, ἐξελθὼν ἀγοράσαι μυρρίνας,
*wine to-boil for-those inside having-gone-out to-buy myrtle-wreaths*

λιβανωτόν, πόπανα καὶ εἰσελθὼν εἴσω στεφανῶν τοὺς
*frankincense cakes and having-come-in inside crowning the*
Ἑρμαφροδίτους ὅλην τὴν ἡμέραν.
*Hermaphrodites all the day*

11 καὶ ὅταν ἐνύπνιον ἴδῃ, πορεύεσθαι πρὸς τοὺς ὀνειροκρίτας,
*and when a-dream he-sees to-go to the dream-interpreters*
πρὸς τοὺς μάντεις, πρὸς τοὺς ὀρνιθοσκόπους, ἐρωτήσων,
*to the seers to the bird-watchers to-be-going-to-ask*
τίνι θεῶν ἢ θεᾷ εὔχεσθαι δεῖ.
*to-which of-the-gods or goddess to-pray one-must*

12 καὶ τελεσθησόμενος πρὸς τοὺς Ὀρφεοτελεστὰς κατὰ μῆνα
*and to-be-going-to-be-initiated to the Orpheus-initiators every month*
πορεύεσθαι μετὰ τῆς γυναικὸς (ἐὰν δὲ μὴ σχολάζῃ ἡ
*to-go with the wife if but not has-leisure the*
γυνή, μετὰ τῆς τίτθης) καὶ τῶν παίδων.
*wife with the nurse and the children*

13 καὶ τῶν περιρραινομένων ἐπὶ θαλάττης ἐπιμελῶς δόξειεν
*and of-those sprinkling-themselves at the-sea carefully would-seem*
ἂν εἶναι.
*— to-be*

14 κἄν ποτε ἐπίδῃ σκορόδῳ ἐστεμμένον τῶν ἐπὶ ταῖς
*and-if ever he-sees with-garlic crowned one-of-those at the*
τριόδοις, ἀπελθὼν κατὰ κεφαλῆς λούσασθαι καὶ ἱερείας
*crossroads having-gone-away over the-head to-wash and priestesses*
καλέσας σκίλλῃ ἢ σκύλακι κελεῦσαι αὑτὸν περικαθᾶραι.
*having-called with-a-squill or a-puppy to-bid himself to-purify-all-round*

15 μαινόμενον δὲ ἰδὼν ἢ ἐπίληπτον φρίξας εἰς κόλπον
*a-madman and having-seen or an-epileptic shuddering into the-bosom*
πτύσαι.
*to-spit*

# Μεμψιμοιρίας

## XVII · THE GRUMBLER

*Grumbling is finding fault with what one is given. The grumbler complains that a friend sent him soup instead of a dinner invitation, doubts his mistress's kisses, blames Zeus for raining late, laments that a purse he found was no treasure, suspects a cheap slave, tells the bearer of news of a son that half his property is gone, blames his speech-writer after winning every vote, and, when his friends raise him a loan, grumbles that he must repay it and owe them thanks besides.*

ἔστιν ἡ μεμψιμοιρία ἐπιτίμησις παρὰ τὸ προσῆκον τῶν 1
*is the grumbling a-censure beyond the fitting of-the-things*
δεδομένων,
*given*
ὁ δὲ μεμψίμοιρος τοιόσδε τις, οἷος ἀποστείλαντος μερίδα 2
*the and grumbler such a-one such-as having-sent a-portion*
τοῦ φίλου εἰπεῖν πρὸς τὸν φέροντα· "ἐφθόνησέν μοι τοῦ
*the friend to-say to the-one carrying-(it) he-grudged me the*
ζωμοῦ καὶ τοῦ οἰναρίου οὐκ ἐπὶ δεῖπνον καλέσας".
*soup and the poor-wine not to dinner having-invited-(me)*
καὶ ὑπὸ τῆς ἑταίρας καταφιλούμενος εἰπεῖν· "θαυμάζω, 3
*and by the courtesan being-kissed to-say I-wonder*
εἰ σὺ καὶ ἀπὸ τῆς ψυχῆς οὕτω με φιλεῖς".
*whether you also from the soul so me love*
καὶ τῷ Διὶ ἀγανακτεῖν, οὐ διότι ὕει, ἀλλὰ διότι 4
*and — with-Zeus to-be-indignant not because he-rains but because*
ὕστερον.
*later*
καὶ εὑρὼν ἐν τῇ ὁδῷ βαλλάντιον εἰπεῖν· "ἀλλ' οὐ 5
*and having-found in the road a-purse to-say but not*
θησαυρὸν εὕρηκα οὐδέποτε".
*a-treasure I-have-found ever*

6 καὶ πριάμενος ἀνδράποδον ἄξιον καὶ πολλὰ δεηθεὶς τοῦ
*and having-bought a-slave cheap and much having-begged the*
πωλοῦντος· "θαυμάζω" εἰπεῖν "ὅ τι ὑγιὲς οὕτω ἄξιον
*seller I-wonder to-say what ever sound so cheap*
ἐώνημαι".
*I-have-bought*

7 καὶ πρὸς τὸν εὐαγγελιζόμενον ὅτι "υἱός σοι γέγονεν",
*and to the-one bringing-good-news that a-son to-you has-been-born*
εἰπεῖν ὅτι "ἂν προσθῇς· 'καὶ τῆς οὐσίας τὸ ἥμισυ ἄπεστιν'
*to-say that if you-add also of-the property the half is-gone*
ἀληθῆ ἐρεῖς".
*true-things you-will-say*

8 καὶ δίκην νικήσας καὶ λαβὼν πάσας τὰς ψήφους ἐγκαλεῖν
*and a-suit having-won and having-got all the votes to-blame*
τῷ γράψαντι τὸν λόγον, ὡς πολλὰ παραλελοιπότι τῶν
*the-one having-written the speech as much having-left-out of-the*
δικαίων·
*just-claims*

9 καὶ ἐράνου εἰσενεχθέντος παρὰ τῶν φίλων καὶ φήσαντός
*and a-contribution having-been-paid-in from the friends and having-said*
τινος· "ἱλαρὸς ἴσθι", "καὶ πῶς;" εἰπεῖν, "ὅτι δεῖ
*someone cheerful be and how to-say since one-must*
τἀργύριον ἀποδοῦναι ἑκάστῳ καὶ χωρὶς τούτων χάριν
*the-silver to-pay-back to-each and apart-from these thanks*
ὀφείλειν ὡς εὐεργετημένον;"
*to-owe as having-been-benefited*

# Ἀπιστίας

## XVIII · THE DISTRUSTFUL MAN

*Distrust is a suspicion of wrongdoing in everyone. The distrustful man sends a second slave to check what the first paid, counts his money every stade, gets up naked at night to check the locks, demands interest before witnesses, lends cups only on security, makes his slave walk in front of him, and tells buyers he will follow them home until he is paid.*

ἔστιν ἀμέλει ἡ ἀπιστία ὑπόληψίς τις ἀδικίας κατὰ 1
*is of-course the distrust a-supposition some of-injustice against*
πάντων, ὁ δὲ ἄπιστος τοιοῦτός τις,
*all the and distrustful-man such a-one*
οἷος ἀποστείλας τὸν παῖδα ὀψωνήσοντα ἕτερον παῖδα 2
*such-as having-sent-off the slave to-be-going-to-buy-food another slave*
πέμπειν τὸν πευσόμενον, πόσου ἐπρίατο.
*to-send the-one to-be-going-to-inquire for-how-much he-bought*
καὶ φέρων αὐτὸς τὸ ἀργύριον [καὶ] κατὰ στάδιον καθίζων 3
*and carrying himself the silver — every stade sitting-down*
ἀριθμεῖν πόσον ἐστίν.
*to-count how-much it-is*
καὶ τὴν γυναῖκα τὴν αὑτοῦ ἐρωτᾶν κατακείμενος, 4
*and the wife the his-own to-ask lying-in-bed*
εἰ κέκλεικε τὴν κιβωτόν, καὶ εἰ σεσήμανται τὸ
*whether she-has-locked the chest and whether has-been-sealed the*
κυλιούχιον, καὶ εἰ ὁ μοχλὸς εἰς τὴν θύραν τὴν αὐλείαν
*cupboard and whether the bar into the door the courtyard*
ἐμβέβληται· καὶ ἂν ἐκείνη φῇ, μηδὲν ἧττον αὐτὸς
*has-been-thrust and if she says-(yes) nothing less himself*
ἀναστὰς γυμνὸς ἐκ τῶν στρωμάτων καὶ ἀνυπόδητος τὸν
*having-got-up naked from the bedclothes and barefoot the*

λύχνον ἅψας ταῦτα πάντα περιδραμὼν ἐπισκέψασθαι
*lamp having-lit these-things all running-round to-inspect*
καὶ οὕτω μόλις ὕπνου τυγχάνειν.
*and so with-difficulty sleep to-get*
5 καὶ τοὺς ὀφείλοντας αὐτῷ ἀργύριον μετὰ μαρτύρων
*and those owing to-him silver with witnesses*
ἀπαιτεῖν τοὺς τόκους, ὅπως μὴ δύναιντο ἔξαρνοι
*to-demand the interest so-that not they-might-be-able deniers*
γενέσθαι.
*to-become*
6 καὶ τὸ ἱμάτιον δὲ ἐκδοῦναι δεινὸς οὐχ ὃς ἂν βέλτιστα
*and the cloak too to-give-out clever not who — best*
ἐργάσηται, ἀλλ' ὅταν ᾖ ἄξιος ἐγγυητὴς τοῦ κναφέως.
*may-work but when is worthy a-guarantor of-the fuller*
7 καὶ ὅταν ἥκῃ τις αἰτησόμενος ἐκπώματα, μάλιστα
*and when comes someone to-be-going-to-ask-for cups best*
μὲν μὴ δοῦναι, ἂν δ' ἄρα τις οἰκεῖος ᾖ καὶ ἀναγκαῖος,
*indeed not to-give if but after-all some kinsman be and relative*
μόνον οὐ πυρώσας καὶ στήσας καὶ σχεδὸν
*only not having-tested-(them)-by-fire and having-weighed-(them) and nearly*
ἐγγυητὴν λαβὼν χρῆσαι.
*a-guarantor having-taken to-lend-(them)*
8 καὶ τὸν παῖδα δὲ ἀκολουθοῦντα κελεύειν αὑτοῦ ὄπισθεν
*and the slave and following to-bid him behind*
μὴ βαδίζειν ἀλλ' ἔμπροσθεν, ἵνα φυλάττῃ αὐτόν, μὴ ἐν
*not to-walk but in-front so-that he-may-watch him lest in*
τῇ ὁδῷ ἀποδρᾷ.
*the road he-run-away*
9 καὶ τοῖς εἰληφόσι τι παρ' αὐτοῦ καὶ λέγουσι·
*and to-those having-taken something from him and saying*
"πόσου, κατάθου· οὐ γὰρ σχολάζω πω πέμπειν"·
*for-how-much put-(it)-down not for I-have-leisure yet to-send*

"μηδὲν πραγματεύου· ἐγὼ γάρ, ἕως ἂν σὺ σχολάσῃς,
*not-at-all trouble-yourself I for until — you have-leisure*
συνακολουθήσω."
*will-follow-along*

## Δυσχερείας

XIX · THE NASTY MAN

---

*Nastiness is a neglect of the body that gives offense. The nasty man goes about with scabs and long nails, calls them inherited, lets his sores fester, has black and rotting teeth, wipes his nose while eating, belches at table, uses rancid oil in the bath, wears filthy clothes, drops the cup during a libation and laughs, and spits across the table on the wine-pourer.*

ἔστιν ἡ δυσχέρεια ἀθεραπευσία σώματος λύπης 1
*is the nastiness a-neglect of-body of-pain*
παρασκευαστική,
*productive*
ὁ δὲ δυσχερὴς τοιοῦτός τις, οἷος λέπραν ἔχων καὶ 2
*the and nasty-man such a-one such-as scaly-skin having and*
ἀλφὸν καὶ τοὺς ὄνυχας μεγάλους περιπατεῖν καὶ φῆσαι
*white-scab and the nails long to-walk-about and to-say*
ταῦτα εἶναι αὐτῷ συγγενικὰ ἀρρωστήματα· ἔχειν γὰρ
*these-things to-be to-him inherited ailments to-have for*
αὐτὸν καὶ τὸν πατέρα καὶ τὸν πάππον, καὶ οὐκ εἶναι
*him both the father and the grandfather and not to-be*
ῥᾴδιον αὐτὸν εἰς τὸ γένος ὑποβάλλεσθαι.
*easy him into the family to-be-foisted*
ἀμέλει δὲ δεινὸς καὶ ἕλκη ἔχειν ἐν τοῖς ἀντικνημίοις καὶ 3
*of-course and clever also sores to-have on the shins and*
προσπταίσματα ἐν τοῖς δακτύλοις καὶ μὴ θεραπεῦσαι ἀλλ'
*bruises on the toes and not to-treat-(them) but*

ἐᾶσαι θηριωθῆναι· καὶ τὰς μασχάλας δὲ θηριώδεις καὶ
*to-let-(them) to-fester and the armpits too beastly and*
δασείας ἔχειν ἄχρι ἐπὶ πολὺ τῶν πλευρῶν καὶ τοὺς ὀδόντας
*hairy to-have as-far to much of-the sides and the teeth*
μέλανας καὶ ἐσθιομένους, ὥστε δυσέντευκτος εἶναι καὶ ἀηδής.
*black and decaying so-that hard-to-meet to-be and unpleasant*
4 καὶ τὰ τοιαῦτα· ἐσθίων ἀπομύττεσθαι· θύων ἅμ᾽
*and the such-things eating to-blow-his-nose sacrificing at-the-same-time*
ἀδαξᾶσθαι· προσλαλῶν ἀπορρίπτειν ἀπὸ τοῦ στόματος·
*to-scratch-himself chatting to-spit-out from the mouth*
ἅμα πιὼν προσερυγγάνειν.
*at-the-same-time having-drunk to-belch-at-(one)*
5 ἀναπίπτοντος ἐν τοῖς στρώμασι μετὰ τῆς γυναικὸς αὐτοῦ
*reclining in the bedclothes with the wife his*
κοιμᾶσθαι.
*to-lie*
6 ἐλαίῳ σαπρῷ ἐν βαλανείῳ χρώμενος σφύζεσθαι.
*with-oil rancid in a-bath using to-sweat*
7 καὶ χιτωνίσκον παχὺν καὶ ἱμάτιον σφόδρα λεπτὸν καὶ
*and a-shirt thick and a-cloak very thin and*
κηλίδων μεστὸν ἀναβαλόμενος εἰς ἀγορὰν ἐξελθεῖν.
*of-stains full having-thrown-on into market to-go-out*
8 καὶ εἰς [ἐξ] ὀρνιθοσκόπου τῆς μητρὸς ἐξελθούσης
*and to — a-bird-diviner's the mother having-gone-out*
βλασφημῆσαι.
*to-speak-ill*
9 καὶ εὐχομένων καὶ σπενδόντων ἐκβαλεῖν τὸ ποτήριον καὶ
*and praying and pouring-libations to-drop the cup and*
γελάσαι ὡς τεράστιόν τι πεποιηκώς.
*to-laugh as a-portentous something having-done*

καὶ αὐλούμενος δὲ κροτεῖν ταῖς χερσὶ μόνος τῶν 10
*and being-played-for-on-the-flute too to-clap with-the hands alone of-the*
ἄλλων καὶ συντερετίζειν καὶ ἐπιτιμᾶν τῇ αὐλητρίδι, τί
*others and to-hum-along and to-rebuke the flute-girl why*
οὐ ταχὺ παύσαιτο.
*not quickly she-would-stop*
καὶ ἀποπτύσαι δὲ βουλόμενος ὑπὲρ τῆς τραπέζης, 11
*and to-spit too wishing across the table*
προσπτύσαι τῷ οἰνοχόῳ.
*to-spit-on the wine-pourer*

## Ἀηδίας

### XX · THE UNPLEASANT MAN

*Unpleasantness is a way of meeting people that gives pain without harm. The unpleasant man wakes a sleeper to chat, delays men about to sail, feeds the baby food he has chewed, describes his purge at dinner, asks his mother in company about the day she bore him, boasts of his cold water and his cook, shows off his parasite to a guest, and promises that his slave will fetch a flute-girl from the brothel-keeper.*

ἔστιν ἡ ἀηδία, ὡς ὅρῳ λαβεῖν, ἔντευξις λύπης 1
*is the unpleasantness as in-a-definition to-take an-association of-pain*
ποιητικὴ ἄνευ βλάβης, ὁ δὲ ἀηδὴς τοιοῦτός τις,
*productive without harm the and unpleasant-man such a-one*
οἷος ἐγείρειν ἄρτι καθεύδοντα εἰσελθών, ἵνα αὐτῷ 2
*such-as to-wake just-now one-sleeping having-gone-in so-that to-him*
λαλῇ.
*he-may-chat*
καὶ ἀνάγεσθαι δὴ μέλλοντας κωλύειν. 3
*and to-set-sail indeed those-about to-hinder*
καὶ προσελθὼν δεῖσθαι ἐπισχεῖν, ἕως ἂν περιπατήσῃ. 4
*and having-approached to-ask to-wait until — he-has-taken-a-walk*

5 καὶ τὸ παιδίον τῆς τίτθης ἀφελόμενος, μασώμενος
*and the baby from-the nurse having-taken chewing*
σιτίζειν αὐτὸς καὶ ὑποκορίζεσθαι ποππύζων καὶ πανουργιῶν
*to-feed-(it) himself and to-call-it-pet-names smacking-his-lips and you-rascal*
τοῦ πάππου καλῶν.
*of-the grandpa calling-(it)*

6 καὶ ἐσθίων δὲ ἅμα διηγεῖσθαι, ὡς ἐλλέβορον πιὼν
*and eating too at-the-same-time to-relate how hellebore having-drunk*
ἄνω καὶ κάτω καθαρθείη καὶ ζωμοῦ τοῦ παρακειμένου
*up and down he-was-purged and than-the-soup the lying-before-(them)*
ἐν τοῖς ὑποχωρήμασιν αὐτῷ μελαντέρα εἴη ἡ χολή.
*in the excrement his blacker was the bile*

7 καὶ ἐρωτῆσαι δὲ δεινὸς ἐναντίον τῶν οἰκείων· "Εἶπ' ὦ
*and to-ask too clever in-the-presence-of the household Tell O*
μάμμη, ὅτ' ὤδινες καὶ ἔτικτές με, τίς ἡμέρα;"
*mommy when you-were-in-labor and were-bearing me what day-(was-it)*

8 καὶ ὑπὲρ αὐτῆς δὲ λέγειν ὡς ἡδύ ἐστι, καὶ ἀμφότερα
*and about it and to-say that pleasant it-is and both*
δὲ οὐκ ἔχοντα οὐ ῥᾴδιον ἄνθρωπον λαβεῖν.
*too not having not easy a-person to-find*

9 καὶ ὅτι ψυχρὸν ὕδωρ ἐστὶ παρ' αὐτῷ λακκαῖον· καὶ
*and that cold water is at his-(house) cistern-water and*
ὡς κῆπος λάχανα πολλὰ ἔχων καὶ ἁπαλά [ὥστε εἶναι
*that a-garden vegetables many having and tender — —*
ψυχρόν]· καὶ μάγειρος εὖ τὸ ὄψον σκευάζων· καὶ ὅτι ἡ
*— and a-cook well the food preparing and that the*
οἰκία αὐτοῦ πανδοκεῖόν ἐστι· μεστὴ γάρ ἐστι· καὶ τοὺς
*house his an-inn is full for it-is and the*
φίλους αὐτοῦ εἶναι τὸν τετρημένον πίθον· εὖ ποιῶν γὰρ
*friends his to-be the pierced jar well treating for*
αὐτοὺς οὐ δύνασθαι ἐμπλῆσαι.
*them not to-be-able to-fill*

καὶ ξενίζων δὲ δεῖξαι τὸν παράσιτον αὐτοῦ, ποῖός τίς 10
*and entertaining too to-show the parasite his of-what-sort some*
ἐστι, τῷ συνδειπνοῦντι· καὶ παρακαλῶν δὲ ἐπὶ τοῦ
*he-is to-the-one dining-with-(him) and inviting too over the*
ποτηρίου εἰπεῖν, ὅτι τὸ τέρψον τοὺς παρόντας
*cup to-say that the-thing to-be-going-to-delight those present*
παρεσκεύασται, καὶ ὅτι αὐτήν, ἐὰν κελεύσωσιν, ὁ παῖς
*has-been-prepared and that her if they-bid the slave*
μέτεισι παρὰ τοῦ πορνοβοσκοῦ ἤδη, ὅπως πάντες ὑπ᾽
*will-fetch from the brothel-keeper at-once so-that all by*
αὐτῆς αὐλώμεθα καὶ εὐφραινώμεθα.
*her we-may-be-piped-to and may-make-merry*

## Μικροφιλοτιμίας

### XXI · THE MAN OF PETTY AMBITION

*Petty ambition is a mean craving for honor. The man of petty ambition must recline next to his host, takes his son to Delphi to be shorn, keeps an Ethiopian attendant, buys a ladder and shield for his jackdaw, nails up the frontlet of the ox he sacrificed, struts in his spurs after the procession, builds a tomb for his lapdog, and contrives to announce the prytaneis' sacrifices to the people.*

ἡ δὲ μικροφιλοτιμία δόξει εἶναι ὄρεξις τιμῆς ἀνελεύθερος, 1
*the and petty-ambition will-seem to-be a-desire of-honor illiberal*
ὁ δὲ μικροφιλότιμος τοιοῦτός τις,
*the and petty-ambitious-man such a-one*
οἷος σπουδάσαι ἐπὶ δεῖπνον κληθεὶς παρ᾽ αὐτὸν τὸν 2
*such-as to-be-eager to dinner having-been-invited beside the-very the*
καλέσαντα κατακείμενος δειπνῆσαι.
*host reclining to-dine*
καὶ τὸν υἱὸν ἀποκεῖραι ἀγαγὼν εἰς Δελφούς. 3
*and the son to-get-shorn having-taken-(him) to Delphi*

4 καὶ ἐπιμεληθῆναι δέ, ὅπως αὐτῷ ὁ ἀκόλουθος Αἰθίοψ
*and to-take-care too that for-him the attendant an-Ethiopian*
ἔσται.
*will-be*

5 καὶ ἀποδιδοὺς μνᾶν ἀργυρίου καινὸν ποιῆσαι ἀποδοῦναι.
*and paying-back a-mina of-silver new to-make to-pay-(it)-back*

6 καὶ κολοιῷ δὲ ἔνδον τρεφομένῳ δεινὸς κλιμάκιον
*and for-a-jackdaw too inside being-kept clever a-little-ladder*
πρίασθαι καὶ ἀσπίδιον χαλκοῦν ποιῆσαι, ὃ ἔχων ἐπὶ
*to-buy and a-little-shield of-bronze to-make which having on*
τοῦ κλιμακίου ὁ κολοιὸς πηδήσεται.
*the little-ladder the jackdaw will-hop*

7 καὶ βοῦν θύσας τὸ προμετωπίδιον ἀπαντικρὺ τῆς
*and an-ox having-sacrificed the frontlet opposite of-the*
εἰσόδου προσπατταλῶσαι, στέμμασι μεγάλοις περιδήσας,
*entrance to-nail-up with-garlands great having-tied-(it)-round*
ὅπως οἱ εἰσιόντες ἴδωσιν, ὅτι βοῦν ἔθυσε.
*so-that those coming-in may-see that an-ox he-sacrificed*

8 καὶ πομπεύσας μετὰ τῶν ἱππέων τὰ μὲν ἄλλα
*and having-ridden-in-procession with the knights the indeed other-things*
πάντα δοῦναι τῷ παιδὶ ἀπενεγκεῖν οἴκαδε, ἀναβαλόμενος
*all to-give to-the slave to-carry-off home having-thrown-on*
δὲ θοἰμάτιον ἐν τοῖς μύωψι κατὰ τὴν ἀγορὰν περιπατεῖν.
*and the-cloak in the spurs through the market to-walk-about*

9 καὶ κυναρίου δὲ Μελιταίου τελευτήσαντος αὐτῷ μνῆμα
*and a-little-dog too Maltese having-died for-it a-tomb*
ποιῆσαι καὶ στηλίδιον ποιήσας ἐπιγράψαι "κλάδος
*to-make and a-little-pillar having-made to-inscribe scion*
Μελιταῖος".
*Maltese*

καὶ ἀναθεὶς δακτύλιον χαλκοῦν ἐν τῷ Ἀσκληπιείῳ 10
*and having-dedicated a-ring of-bronze in the Asclepieum*
τοῦτον ἐκτρίβειν στεφανοῦν ἀλείφειν ὁσημέραι.
*this to-rub-up to-crown to-anoint daily*
ἀμέλει δὲ καὶ συνδιοικήσασθαι παρὰ τῶν πρυτάνεων, ὅπως 11
*of-course and also to-arrange-it from the prytaneis so-that*
ἀπαγγείλῃ τῷ δήμῳ τὰ ἱερά, καὶ παρεσκευασμένος
*he-may-announce to-the people the sacrifices and having-provided-himself-with*
λαμπρὸν ἱμάτιον καὶ ἐστεφανωμένος παρελθὼν εἰπεῖν·
*a-splendid cloak and having-been-crowned having-come-forward to-say*
"ὦ ἄνδρες Ἀθηναῖοι, ἐθύομεν οἱ πρυτάνεις [τὰ ἱερὰ]
*O men Athenians we-were-sacrificing the prytaneis — —*
τῇ Μητρὶ τῶν θεῶν τὰ Γαλάξια, καὶ τὰ ἱερὰ καλά,
*to-the Mother of-the gods the Galaxia and the sacrifices favorable*
καὶ ὑμεῖς δέχεσθε τὰ ἀγαθά". καὶ ταῦτα ἀπαγγείλας
*and you receive the blessings and these-things having-announced*
ἀπιὼν διηγήσασθαι οἴκαδε τῇ αὐτοῦ γυναικί, ὡς καθ'
*going-off to-relate home to-the his-own wife how to*
ὑπερβολὴν εὐημέρει.
*excess he-was-successful*

# Ἀνελευθερίας

## XXII · THE MEAN MAN

*Meanness is a lack of the ambition that costs money. The mean man dedicates a wooden ribbon for his tragic victory, slips out during the public contributions, sells the wedding meat, sleeps on his helmsman's bedding, keeps his children home from school at the festival, carries his own vegetables, stays in while his cloak is washed, avoids a friend who is collecting, hires his wife's maid by the outing, wears resoled shoes, sweeps his own house, and turns back his worn cloak when he sits.*

1 ἡ δὲ ἀνελευθερία ἐστὶν ἀπουσία τις [ἀπὸ] φιλοτιμίας
*the and meanness is an-absence some — of-ambition*
δαπάνην ἐχούσης, ὁ δὲ ἀνελεύθερος τοιοῦτός τις,
*expense having the and mean-man such a-one*
2 οἷος νικήσας τραγῳδοῖς ταινίαν ξυλίνην ἀναθεῖναι τῷ
*such-as having-won with-tragedies a-ribbon wooden to-dedicate —*
Διονύσῳ, ἐπιγράψας μὲν αὑτοῦ τὸ ὄνομα.
*to-Dionysus having-inscribed indeed his the name*
3 καὶ ἐπιδόσεων γιγνομένων ἐκ τοῦ δήμου, ἀναστὰς
*and voluntary-contributions being-made from the assembly having-stood-up*
σιωπῇ ἐκ τοῦ μέσου ἀπελθεῖν.
*in-silence from the middle to-go-away*
4 καὶ ἐκδιδοὺς αὑτοῦ θυγατέρα τοῦ μὲν ἱερείου
*and giving-in-marriage his daughter of-the indeed sacrificial-victim*
πλὴν τῶν ἱερέων τὰ κρέα ἀποδόσθαι, τοὺς
*except of-the priests'-portions the meats to-sell the*
δὲ διακονοῦντας ἐν τοῖς γάμοις οἰκοσίτους
*and serving at the wedding feeding-themselves*
μισθώσασθαι.
*to-hire*

καὶ τριηραρχῶν τὰ μὲν τοῦ κυβερνήτου στρώματα αὑτῷ 5
*and being-trierarch the indeed of-the helmsman bedding for-himself*
ἐπὶ τοῦ καταστρώματος ὑποστόρνυσθαι, τὰ δὲ αὑτοῦ
*on the deck to-spread-under the and his*
ἀποτιθέναι.
*to-put-away*
καὶ τὰ παιδία δὲ δεινὸς μὴ πέμψαι εἰς διδασκάλου, ὅταν 6
*and the children and clever not to-send to school when*
ᾖ [τοῦ ἀποτιθέναι καὶ τὰ παιδία] Μουσεῖα, ἀλλὰ φῆσαι
*is — — — — — Museia but to-say*
κακῶς ἔχειν, ἵνα μὴ συμβάλωνται.
*ill to-be so-that not they-contribute*
καὶ ἐξ ἀγορᾶς δὲ ὀψωνήσας [τὰ κρέα] αὐτὸς φέρειν 7
*and from market and having-bought-food — — himself to-carry*
τὰ λάχανα ἐν τῷ προκολπίῳ.
*the vegetables in the fold-of-his-cloak*
καὶ ἔνδον μένειν, ὅταν ἐκδῷ θοἰμάτιον ἐκπλῦναι· 8
*and inside to-stay when he-gives-out the-cloak to-wash*
καὶ φίλου ἔρανον συλλέγοντος καὶ διειλεγμένου αὐτῷ, 9
*and a-friend a-contribution collecting and having-spoken-of-(it) to-him*
προσιόντα προϊδόμενος ἀποκάμψας ἐκ τῆς ὁδοῦ τὴν
*approaching having-seen-beforehand having-turned-aside out-of the road the*
κύκλῳ οἴκαδε πορευθῆναι·
*way-round home to-go*
καὶ τῇ γυναικὶ δὲ τῇ ἑαυτοῦ προῖκα εἰσενεγκαμένῃ μὴ 10
*and for-the wife and the his-own a-dowry having-brought-in not*
πρίασθαι θεράπαιναν, ἀλλὰ μισθοῦσθαι εἰς τὰς ἐξόδους
*to-buy a-maidservant but to-hire for the outings*
ἐκ τῆς γυναικείας παιδίον τὸ συνακολουθῆσον·
*from the women's-market a-girl the to-be-going-to-attend-(her)*

11 καὶ τὰ ὑποδήματα παλινπήξει κεκαττυμένα φορεῖν καὶ
*and the shoes with-refitted-nails cobbled to-wear and*
λέγειν, ὅτι κέρατος οὐδὲν διαφέρει·
*to-say that from-horn not-at-all it-differs*
12 καὶ ἀναστὰς τὴν οἰκίαν καλλῦναι καὶ τὰς κλίνας
*and having-got-up the house to-sweep and the couches*
ἐκκορῆσαι·
*to-clean-of-bugs*
13 καὶ καθεζόμενος παραστρέψαι τὸν τρίβωνα, ὃν αὐτὸν
*and sitting-down to-turn-back the coarse-cloak which himself*
φορεῖ.
*he-wears*

## Ἀλαζονείας

### XXIII · THE BOASTER

*Boastfulness is a pretense of goods one does not have. The boaster tells foreigners at the harbor of his fortunes at sea while his bank account holds a drachma, tells fellow travelers that he campaigned with Alexander though he has never left the city, claims Antipater has invited him to Macedonia, says he spent more than five talents in the famine, inspects horses and clothes he cannot buy, and calls his rented house his ancestral home, too small for his guests.*

1 ἀμέλει δὲ ἡ ἀλαζονεία δόξει εἶναι προσποίησίς τις
*of-course and the boastfulness will-seem to-be a-pretense some*
ἀγαθῶν οὐκ ὄντων, ὁ δὲ ἀλαζὼν τοιοῦτός τις,
*of-goods not being the and boaster such a-one*
2 οἷος ἐν τῷ διαζεύγματι ἑστηκὼς διηγεῖσθαι ξένοις,
*such-as in the mole standing to-relate to-foreigners*
ὡς πολλὰ χρήματα αὐτῷ ἐστιν ἐν τῇ θαλάττῃ· καὶ
*that much money for-him is on the sea and*

περὶ τῆς ἐργασίας τῆς δανειστικῆς διεξιέναι, ἡλίκη, καὶ
*about the business the money-lending to-go-through how-great and*
αὐτὸς ὅσα εἴληφε καὶ ἀπολώλεκε· καὶ ἅμα
*himself how-much he-has-received and has-lost and at-the-same-time*
ταῦτα πλεθρίζων πέμπειν τὸ παιδάριον εἰς τὴν τράπεζαν,
*these-things exaggerating to-send the slave-boy to the bank*
δραχμῆς αὐτῷ κειμένης.
*a-drachma for-him lying-(there)*
καὶ συνοδοιπόρου δὲ ἀπολαῦσαι ἐν τῇ ὁδῷ δεινὸς 3
*and a-fellow-traveler too to-take-advantage-of on the road clever*
λέγων, ὡς μετ᾽ Ἀλεξάνδρου ἐστρατεύσατο, καὶ ὡς αὐτῷ
*saying how with Alexander he-campaigned and how with-him*
εἶχε, καὶ ὅσα λιθοκόλλητα ποτήρια ἐκόμισε· καὶ
*he-stood and how-many jewel-studded cups he-brought-back and*
περὶ τῶν τεχνιτῶν τῶν ἐν τῇ Ἀσίᾳ, ὅτι βελτίους εἰσὶ
*about the craftsmen the in — Asia that better they-are*
τῶν ἐν τῇ Εὐρώπῃ, ἀμφισβητῆσαι· καὶ ταῦτα φῆσαι,
*than-those in — Europe to-dispute and these-things to-say*
οὐδαμοῦ ἐκ τῆς πόλεως ἀποδεδημηκώς.
*nowhere from the city having-been-abroad*
καὶ γράμματα δὲ εἰπεῖν ὡς πάρεστι παρ᾽ Ἀντιπάτρου 4
*and letters too to-say that are-there from Antipater*
τριττὰ δὴ λέγοντα παραγίγνεσθαι αὐτὸν εἰς Μακεδονίαν·
*three indeed saying to-come him to Macedonia*
καὶ διδομένης αὐτῷ ἐξαγωγῆς ξύλων ἀτελοῦς, ὅτι
*and being-given to-him an-export of-timber tax-free that*
ἀπείρηται, ὅπως μηδ᾽ ὑφ᾽ ἑνὸς συκοφαντηθῇ· “περαιτέρω
*he-has-refused so-that not-even by one he-may-be-slandered further*
φιλοσοφεῖν προσῆκε Μακεδόσι.”
*to-philosophize it-befitted Macedonians*

καὶ ἐν τῇ σιτοδείᾳ δὲ ὡς πλείω ἢ πέντε τάλαντα αὐτῷ
*and in the famine and that more than five talents for-him*
γένοιτο τὰ ἀναλώματα διδόντι τοῖς ἀπόροις τῶν πολιτῶν·
*came the expenses giving to-the poor of-the citizens*
ἀνανεύειν γὰρ οὐ δύνασθαι.
*to-refuse for not to-be-able*

6 καὶ ἀγνώτων δὲ παρακαθημένων κελεῦσαι θεῖναι τὰς
*and strangers too sitting-by to-bid to-set-out the*
ψήφους ἕνα αὐτῶν καὶ ποσῶν καθ' ἑξακοσίας καὶ κατὰ
*counters one of-them and counting by six-hundreds and by*
μίαν καὶ προστιθεὶς πιθανῶς ἑκάστοις τούτων ὀνόματα
*one and adding plausibly to-each of-these names*
ποιῆσαι καὶ δέκα τάλαντα· καὶ τοῦτο φῆσαι εἰσενηνέχθαι
*to-make even ten talents and this to-say to-have-been-paid*
εἰς ἐράνους αὐτῷ· καὶ τὰς τριηραρχίας εἰπεῖν ὅτι οὐ
*into contributions by-him and the trierarchies to-say that not*
τίθησιν οὐδὲ τὰς λητουργίας, ὅσας λελητούργηκε.
*he-counts nor the public-services as-many-as he-has-performed*

7 καὶ προσελθὼν δ' εἰς τοὺς ἵππους τοὺς ἀγαθοὺς τοῖς
*and having-gone-up too to the horses the good to-the*
πωλοῦσι προσποιήσασθαι ὠνητιᾶν.
*sellers to-pretend to-want-to-buy*

8 καὶ ἐπὶ τὰς κλίνας ἐλθὼν ἱματισμὸν ζητῆσαι εἰς δύο
*and to the couches having-gone clothing to-seek to two*
τάλαντα καὶ τῷ παιδὶ μάχεσθαι, ὅτι τὸ χρυσίον οὐκ
*talents and with-the slave to-quarrel because the gold not*
ἔχων αὐτῷ ἀκολουθεῖ.
*having him he-follows*

9 καὶ ἐν μισθωτῇ οἰκίᾳ οἰκῶν φῆσαι ταύτην εἶναι τὴν
*and in a-rented house living to-say this to-be the*
πατρῴαν πρὸς τὸν μὴ εἰδότα, καὶ διότι μέλλει
*ancestral-(house) to the-one not knowing and that he-intends*

πωλεῖν αὐτὴν διὰ τὸ ἐλάττω εἶναι αὑτῷ πρὸς τὰς
*to-sell it because-of the smaller to-be for-him for the*
ξενοδοκίας.
*entertainments*

## Ὑπερηφανίας

### XXIV · THE ARROGANT MAN

*Arrogance is contempt for everyone but oneself. The arrogant man makes a petitioner meet him on his walk after dinner, says he remembers his favors, settles arbitrations in the street, refuses offices, never greets first, has tradesmen come at dawn, walks looking down, leaves his guests to a subordinate, and writes letters saying not "You would oblige me" but "I want it done."*

ἔστι δὲ ἡ ὑπερηφανία καταφρόνησίς τις πλὴν αὑτοῦ τῶν 1
*is and the arrogance a-contempt some except himself of-the*
ἄλλων, ὁ δὲ ὑπερήφανος τοιόσδε τις,
*others the and arrogant-man such a-one*
οἷος τῷ σπεύδοντι ἀπὸ δείπνου ἐντεύξεσθαι 2
*such-as to-the-one hurrying after dinner to-be-going-to-meet-(him)*
φάσκειν ἐν τῷ περιπατεῖν.
*to-claim during the walking*
καὶ εὖ ποιήσας μεμνῆσθαι φάσκειν. 3
*and well having-done to-remember to-claim*
καὶ βαδίζων ἐν ταῖς ὁδοῖς τὰς διαίτας κρίνειν ἐν τάχει 4
*and walking in the streets the arbitrations to-decide in haste*
τοῖς ἐπιτρέψασι.
*for-those having-referred-(them)*
καὶ χειροτονούμενος ἐξόμνυσθαι τὰς ἀρχάς, οὐ φάσκων 5
*and being-elected to-swear-off the offices not claiming*
σχολάζειν.
*to-have-leisure*

καὶ προσελθεῖν πρότερος οὐδενὶ θελῆσαι.
*and to-approach first nobody to-be-willing*

καὶ τοὺς πωλοῦντάς τι ἢ μεμισθωμένους δεινὸς
*and those selling something or having-been-hired clever*
κελεῦσαι ἥκειν πρὸς αὐτὸν ἅμ᾽ ἡμέρᾳ.
*to-bid to-come to him with daybreak*

καὶ ἐν ταῖς ὁδοῖς πορευόμενος μὴ λαλεῖν τοῖς
*and in the streets going not to-chat with-those*
ἐντυγχάνουσι κάτω κεκυφώς, ὅταν δὲ αὐτῷ δόξῃ, ἄνω
*meeting-(him) down having-stooped when but to-him it-seems up*
πάλιν.
*again*

καὶ ἑστιῶν τοὺς φίλους αὐτὸς μὴ συνδειπνεῖν, ἀλλὰ τῶν
*and feasting the friends himself not to-dine-with-(them) but of-those*
ὑφ᾽ αὑτόν τινι συντάξαι αὐτῶν ἐπιμελεῖσθαι.
*under himself someone to-appoint them to-attend-to*

καὶ προαποστέλλειν δέ, ἐπὰν πορεύηται, τὸν ἐροῦντα,
*and to-send-ahead too whenever he-goes the-one to-be-going-to-say*
ὅτι προσέρχεται.
*that he-is-coming*

καὶ οὔτε ἐπ᾽ ἀλειφόμενον αὐτὸν οὔτε λούμενον οὔτε
*and neither upon being-anointed him nor bathing nor*
ἐσθίοντα ἐᾶσαι ἂν εἰσελθεῖν.
*eating to-allow — to-come-in*

ἀμέλει δὲ καὶ λογιζόμενος πρός τινα τῷ παιδὶ συντάξαι
*of-course and also reckoning with someone for-the slave to-arrange*
τὰς ψήφους διωθεῖν καὶ κεφάλαιον ποιήσαντι γράψαι
*the counters to-push-aside and a-total having-made to-write*
αὐτῷ εἰς λόγον.
*to-him to account*

καὶ ἐπιστέλλων μὴ γράφειν, ὅτι "χαρίζοιο ἄν μοι", ἀλλ' ὅτι 13
*and sending-a-letter not to-write that you-would-oblige — me but that*
"βούλομαι γενέσθαι" καὶ "ἀπέσταλκα πρὸς σὲ ληψόμενος"
*I-wish to-happen and I-have-sent to you to-be-going-to-receive*
καὶ "ὅπως ἄλλως μὴ ἔσται" καὶ "τὴν ταχίστην".
*and that otherwise not it-shall-be and the quickest*

## Δειλίας

### XXV · THE COWARD

*Cowardice is a fearful yielding of the soul. At sea the coward takes headlands for pirate ships and asks whether anyone aboard is uninitiated; on campaign he says it is hard to tell the enemy apart, claims to have forgotten his sword and hides it under his pillow, tends a wounded friend to keep out of the fight, curses the trumpeter, and comes back smeared with another man's blood, telling his tribesmen how he saved a friend.*

ἀμέλει δὲ ἡ δειλία δόξειεν ἂν εἶναι ὕπειξίς τις ψυχῆς 1
*of-course and the cowardice would-seem — to-be a-yielding some of-soul*
ἔμφοβος, ὁ δὲ δειλὸς τοιοῦτός τις,
*fearful the and coward such a-one*
οἷος πλέων τὰς ἄκρας φάσκειν ἡμιολίας εἶναι· καὶ 2
*such-as sailing the headlands to-claim pirate-ships to-be and*
κλύδωνος γενομένου ἐρωτᾶν, εἴ τις μὴ μεμύηται
*a-wave having-arisen to-ask whether anyone not has-been-initiated*
τῶν πλεόντων· καὶ τοῦ κυβερνήτου ἀνακύπτων μὲν
*of-those sailing and of-the helmsman looking-up indeed*
πυνθάνεσθαι, εἰ μεσοπορεῖ, καὶ τί αὐτῷ δοκεῖ τὰ τοῦ
*to-inquire whether he-is-half-way and what to-him seem the-things of-the*
θεοῦ, καὶ πρὸς τὸν παρακαθήμενον λέγειν, ὅτι φοβεῖται
*god and to the-one sitting-by to-say that he-is-afraid*

ἀπὸ ἐνυπνίου τινός· καὶ ἐκδὺς διδόναι τῷ παιδὶ τὸν
*from a-dream some and having-stripped to-give to-the slave the*
χιτωνίσκον· καὶ δεῖσθαι πρὸς τὴν γῆν προσάγειν αὐτόν.
*shirt and to-beg to the land to-bring him*

3 καὶ στρατευόμενος δὲ τοῦ πεζοῦ ἐκβοηθοῦντος τοὺς
*and serving-in-the-army too the infantry going-out-to-help the*
δημότας προσκαλεῖν, κελεύων πρὸς αὑτὸν στάντας πρῶτον
*demesmen to-call-to-(him) bidding by him having-stood first*
περιδεῖν, καὶ λέγειν, ὡς ἔργον διαγνῶναί ἐστι, πότεροί
*to-look-around and to-say how a-task to-distinguish it-is which*
εἰσιν οἱ πολέμιοι·
*are the enemy*

4 καὶ ἀκούων κραυγῆς καὶ ὁρῶν πίπτοντας εἰπεῖν πρὸς
*and hearing a-shout and seeing (men)-falling to-say to*
τοὺς παρεστηκότας, ὅτι τὴν σπάθην λαβεῖν ὑπὸ τῆς
*those standing-by that the sword to-take in the*
σπουδῆς ἐπελάθετο, τρέχειν ἐπὶ τὴν σκηνήν, τὸν παῖδα
*haste he-forgot to-run to the tent the slave*
ἐκπέμψας καὶ κελεύσας προσκοπεῖσθαι, ποῦ εἰσιν οἱ
*having-sent-out and having-bidden-(him) to-look-out where are the*
πολέμιοι, ἀποκρύψαι αὐτὴν ὑπὸ τὸ προσκεφάλαιον, εἶτα
*enemy to-hide it under the pillow then*
διατρίβειν πολὺν χρόνον ὡς ζητῶν·
*to-spend much time as looking*

5 καὶ ἐν τῇ σκηνῇ ὁρῶν τραυματίαν τινὰ προσφερόμενον τῶν
*and in the tent seeing a-wounded-man some being-carried-in of-the*
φίλων προσδραμὼν καὶ θαρρεῖν κελεύσας ὑπολαβὼν
*friends having-run-up and to-take-heart having-bidden having-taken-him-up*
φέρειν· καὶ τοῦτον θεραπεύειν καὶ περισπογγίζειν καὶ
*to-carry and him to-tend and to-sponge-all-round and*
παρακαθήμενος ἀπὸ τοῦ ἕλκους τὰς μυίας σοβεῖν καὶ
*sitting-by from the wound the flies to-scare-off and*

πᾶν μᾶλλον ἢ μάχεσθαι τοῖς πολεμίοις· καὶ τοῦ
*everything rather than to-fight with-the enemy and the*
σαλπικτοῦ δὲ τὸ πολεμικὸν σημήναντος καθήμενος ἐν
*trumpeter and the battle-signal having-sounded sitting in*
τῇ σκηνῇ εἰπεῖν· "ἄπαγ' ἐς κόρακας· οὐκ ἐάσει τὸν
*the tent to-say off to the-crows not he-will-let the*
ἄνθρωπον ὕπνου λαβεῖν πυκνὰ σημαίνων·"
*man sleep to-get often sounding*
καὶ αἵματος δὲ ἀνάπλεως ἀπὸ τοῦ ἀλλοτρίου τραύματος 6
*and with-blood too full from the another's wound*
ἐντυγχάνειν τοῖς ἐκ τῆς μάχης ἐπανιοῦσι καὶ διηγεῖσθαι
*to-meet those from the battle returning and to-relate*
ὡς κινδυνεύσας· "ἕνα σέσωκα τῶν φίλων"· καὶ εἰσάγειν
*as having-run-risks one I-have-saved of-the friends and to-bring-in*
πρὸς τὸν κατακείμενον σκεψομένους [τοὺς δημότας] τοὺς
*to the-one lying-there to-be-going-to-look — — the*
φυλέτας καὶ τούτων ἅμ' ἑκάστῳ διηγεῖσθαι, ὡς
*tribesmen and of-these at-the-same-time to-each to-relate that*
αὐτὸς αὐτὸν ταῖς ἑαυτοῦ χερσὶν ἐπὶ σκηνὴν ἐκόμισεν.
*he-himself him with-the his-own hands to tent carried*

# Ὀλιγαρχίας

## XXVI · THE OLIGARCH

*Oligarchy is a love of rule greedy for power and gain. The oligarch says one man is enough to manage the procession, knowing one line of Homer, "Let there be one ruler"; he urges that the few should keep apart from the mob, struts about at noon with his cloak and haircut just so, complains of informers, bribed juries, and liturgies, and blames Theseus for the democracy.*

1 δόξειεν δ' ἂν εἶναι ἡ ὀλιγαρχία φιλαρχία τις ἰσχύος
*would-seem and — to-be the oligarchy a-love-of-office some of-strength*
καὶ κέρδους γλιχομένη, ὁ δὲ ὀλιγαρχικὸς τοιοῦτός τις,
*and of-gain eager the and oligarch such a-one*
οἷος τοῦ δήμου βουλευομένου,
*such-as the people deliberating*
2 τίνας τῷ ἄρχοντι προσαιρήσονται τῆς πομπῆς τοὺς
*whom for-the archon they-shall-choose-besides of-the procession those*
συνεπιμελησομένους, παρελθὼν ἀποφήνασθαι, ὡς δεῖ
*to-be-going-to-share-the-care having-come-forward to-declare that it-is-needful*
αὐτοκράτορας τούτους εἶναι, κἂν ἄλλοι προβάλλωνται
*with-full-powers these to-be and-if others propose*
δέκα, λέγειν· "ἱκανὸς εἷς ἐστι, τοῦτον δὲ ὅτι δεῖ
*ten to-say enough one is this-one but that it-is-needful*
ἄνδρα εἶναι". καὶ τῶν Ὁμήρου ἐπῶν τοῦτο ἓν μόνον
*a-man to-be and of-the of-Homer verses this one only*
κατέχειν, ὅτι "οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος
*to-retain that not good a-rule-of-many one ruler*
ἔστω", τῶν δὲ ἄλλων μηδὲν ἐπίστασθαι.
*let-there-be of-the but others nothing to-know*

ἀμέλει δὲ δεινὸς τοῖς τοιούτοις τῶν λόγων χρήσασθαι 3
*of-course and clever the such of-the words to-use*
ὅτι "δεῖ αὐτοὺς ἡμᾶς συνελθόντας περὶ τούτων
*that it-is-needful ourselves us having-come-together about these-things*
βουλεύσασθαι καὶ ἐκ τοῦ ὄχλου καὶ τῆς ἀγορᾶς
*to-deliberate and from the mob and the market*
ἀπαλλαγῆναι καὶ παύσασθαι ἀρχαῖς πλησιάζοντας καὶ
*to-get-free and to-stop offices approaching and*
ὑπὸ τούτων αὐτοὺς ὑβριζομένους ἢ τιμωμένους", καὶ ὅτι
*by these ourselves being-insulted or honored and that*
"ἢ τούτους δεῖ ἢ ἡμᾶς οἰκεῖν τὴν πόλιν".
*either these it-is-needful or us to-inhabit the city*
καὶ τὸ μέσον δὲ τῆς ἡμέρας ἐξιὼν καὶ τὸ ἱμάτιον 4
*and the middle too of-the day going-out and the cloak*
ἀναβεβλημένος καὶ μέσην κουρὰν κεκαρμένος καὶ ἀκριβῶς
*having-thrown-on and a-moderate haircut having-had-cut and precisely*
ἀπωνυχισμένος σοβεῖν τοὺς τοιούτους λόγους τραγῳδῶν·
*having-pared-his-nails to-strut the such words declaiming*
"διὰ τοὺς συκοφάντας οὐκ οἰκητόν ἐστιν ἐν τῇ πόλει", 5
*because-of the informers not habitable it-is in the city*
καὶ ὡς "ἐν τοῖς δικαστηρίοις δεινὰ πάσχομεν ὑπὸ τῶν
*and that in the courts terrible-things we-suffer by those*
δεκαζομένων", καὶ ὡς "θαυμάζω τῶν πρὸς τὰ κοινὰ
*being-bribed and that I-wonder at-those to the common-affairs*
προσιόντων τί βούλονται", καὶ ὡς "ἀχάριστόν ἐστι τὸ
*approaching what they-want and that ungrateful is the*
πλῆθος καὶ δοῦλον ἀεὶ τοῦ νέμοντος καὶ διδόντος",
*multitude and slave always of-the-one distributing and giving*
καὶ ὡς αἰσχύνεται ἐν τῇ ἐκκλησίᾳ, ὅταν παρακαθῆταί
*and that he-is-ashamed in the assembly whenever sits-beside*
τις αὐτῷ λεπτὸς καὶ αὐχμῶν.
*someone him thin and squalid*

6 καὶ εἰπεῖν· “πότε παυσόμεθα ὑπὸ τῶν λῃτουργιῶν καὶ
*and to-say when shall-we-stop by the public-services and*
τῶν τριηραρχιῶν ἀπολλύμενοι;” καὶ “ὡς μισητὸν τὸ τῶν
*the trierarchies being-ruined and how hateful the of-the*
δημαγωγῶν γένος, τὸν Θησέα πρῶτον φήσας τῶν κακῶν
*demagogues race — Theseus first saying of-the evils*
τῇ πόλει γεγονέναι αἴτιον· τοῦτον γὰρ ἐκ δώδεκα
*to-the city to-have-become cause him for from twelve*
πόλεων εἰς μίαν καταγαγόντα τὸν δῆμον αὐξῆσαι,
*cities into one having-brought-together the people to-have-increased*
ὥστε πάντων κρατῆσαι τοὺς πολλοὺς λυθείσης τῆς
*so-that all to-have-mastered the many having-been-dissolved the*
βασιλείας· καὶ δίκαια αὐτὸν παθεῖν· πρῶτον γὰρ αὐτὸν
*kingship and just-things him to-have-suffered first for him*
ἀπολέσθαι ὑπ᾽ αὐτῶν”.
*to-have-perished by them*

7 καὶ τοιαῦτα ἕτερα πρὸς τοὺς ξένους καὶ τῶν πολιτῶν
*and such other-things to the foreigners and of-the citizens*
τοὺς ὁμοτρόπους καὶ ταὐτὰ προαιρουμένους.
*those like-minded and the-same-things choosing*

# Ὀψιμαθίας

## XXVII · THE LATE LEARNER

*Late learning is industry beyond one's age. The late learner learns speeches at sixty and forgets them at the party, learns drill from his son, runs torch races with the youths, tries to lift the bull at a sacrifice, practices wrestling and riding and breaks his head, sits through shows to learn the songs, and practices dancing, humming to himself.*

ἡ δὲ ὀψιμαθία φιλοπονία δόξειεν ἂν εἶναι ὑπὲρ τὴν 1
*the and late-learning a-love-of-toil would-seem — to-be beyond the*
ἡλικίαν, ὁ δὲ ὀψιμαθὴς τοιοῦτός τις,
*age the and late-learner such a-one*
οἷος ῥήσεις μανθάνειν ἑξηκονταέτης γεγονὼς καὶ ταύτας 2
*such-as speeches to-learn sixty-years-old having-become and these*
λέγων παρὰ πότον ἐπιλανθάνεσθαι.
*reciting at a-drinking-party to-forget*
καὶ παρὰ τοῦ υἱοῦ μανθάνειν τὸ "ἐπὶ δόρυ" καὶ "ἐπὶ 3
*and from the son to-learn the to spear and to*
ἀσπίδα" καὶ "ἐπ' οὐράν".
*shield and to rear*
καὶ εἰς ἡρῷα συμβάλλεσθαι τοῖς μειρακίοις λαμπάδα 4
*and to hero-festivals to-club-together with-the youths a-torch*
τρέχειν.
*to-run*
ἀμέλει δὲ κἄν που κληθῇ εἰς Ἡράκλειον, ῥίψας 5
*otherwise to-us the to-love akin of-the sea goddess*

τεκούσης τοῦτο τὸ παιδίον. ἡμέτερος οὖν πρὸς μητρὸς
*having-borne this the child ours therefore on mother's-side*
ὁ Ἔρως, καὶ ὑπὸ τούτου βληθεὶς τὴν καρδίαν ἔχω πρὸς
*— Love and by him stricken the heart I-have by*
θαλάττῃ τὴν κόρην, Πανόπῃ νομίζων ἢ Γαλατείᾳ ταῖς
*sea the girl with-Panope thinking or with-Galatea the*
καλλιστευούσαις τῶν Νηρηίδων συνεῖναι.
*most-beautiful of-the Nereids to-be-with*

20

## Θερμολέπυρος Ὠκίμωνι

*Thermolepyrus to-Ocimon*

Σχέτλια πεπόνθαμεν· τοῖς γὰρ ἄλλοις οὖθαρ καὶ μῆτραι
*cruel-things we-have-suffered to-the for others udder and wombs*
καὶ ἧπαρ δρόσῳ προσεοικὸς παρέκειτο, ἡμῖν δὲ ἔτνος ἦν
*and liver to-dew like were-served for-us but pea-soup was*
τὸ βρῶμα· καὶ οἱ μὲν Χαλυβώνιον ἔπινον, ἐκτροπίαν
*the food and they indeed Chalybonian were-drinking sour-wine*
δὲ ἡμεῖς καὶ ὀξίνην. ἀλλ᾽ ὦ μοιραῖοι θεοὶ καὶ μοιραγέται
*and we and vinegary but O fateful gods and fate-leading*
δαίμονες, δοίητε παρατροπὴν τῆς ἀδίκου ταύτης τύχης
*spirits may-you-give a-turning-aside of-the unjust this fortune*
καὶ μὴ τοὺς μὲν διηνεκῶς φυλάττετε ἐν εὐτυχίᾳ, τοῖς
*and not the-ones indeed continually keep in good-fortune for-the-others*
δὲ τὸν λιμὸν συνοικίζετε *** τῇ γὰρ φορᾷ τῆς
*and the hunger make-dwell-with (lacuna) by-the for course of-the*
εἱμαρμένης τὰ τοιαῦτα κατηνάγκασται. ἄδικα πάσχομεν
*destiny the such-things have-been-compelled unjust-things we-suffer*
πρὸς αὐτῆς οἱ λεπτῇ καὶ στενῇ κεχρημένοι τῇ τύχῃ.
*by her we-who with-slender and narrow having-dealt the fortune*

21

## Κωνωποσφράντης Ἰσχνολίμῳ

*Conoposphrantes to-Ischnolimus*

Ἀνεμιαίους ἐλπίδας ἔσχον ἐπὶ τῷ μειρακίῳ Πολυκρίτῳ.
*windy hopes I-had in the youth Polycritus*
ᾤμην γὰρ αὐτόν, εἰ τεθναίη αὐτῷ ὁ πατήρ, χύσιν
*I-thought for him if should-die to-him the father a-pouring-out*
ἂν ἐργάσασθαι τῆς οὐσίας πολλὴν καὶ ἀδηφαγοῦντα καὶ
*— to-make of-the property great and gluttonizing and*
καθηδυπαθοῦντα μετά τε ἡμῶν μετά τε τῶν ἑταιρῶν
*luxuriating with both us with and the courtesans*
ὅσαι κατὰ τὴν ὥραν πρωτεύουσιν. ὁ δέ, ἐπειδὴ κρίνον
*as-many-as in the beauty are-first he but since lily*
αὐτῷ ὁ γεννήσας ἐγένετο, σιτεῖται μὲν τῆς ἡμέρας ἅπαξ,
*for-him the begetter became eats indeed of-the day once*
καὶ τοῦτο ὀψὲ τῆς ὥρας ἡλίου λοιπὸν ἀμφὶ τροπὰς
*and this late of-the hour of-the-sun by-now about the-turnings*
τὰς εἰς δύσιν ἔχοντος· σιτεῖται δὲ οὐδὲν τῶν πολυτελῶν
*the toward setting having eats and nothing of-the costly-things*
ἀλλ᾽ ἄρτον ἐξ ἀγορᾶς, καὶ ὄψον, εἴποτε εὐημερίας
*but bread from market and relish if-ever of-festivity*
ἡμέραν ἐπιτελοίη, δρυπεπεῖς ἢ φαυλίας. διαμαρτὼν
*a-day he-should-celebrate ripe-fallen-olives or coarse-ones having-failed*
οὖν τῆς θαυμαστῆς ταύτης ἐλπίδος οὐκ οἶδ᾽ ὅ τι καὶ
*therefore of-the wonderful this hope not I-know what ever even*
δράσαιμι. εἰ γὰρ ὁ τρέφων δεῖται τοῦ θρέψοντος,
*I-should-do if for the feeding-(him) needs the(-one) to-be-going-to-feed-(him)*
τίς ἂν εἴη ὁ τρέφεσθαι ὀφείλων; λιμώττοντα δὲ
*who — would-be the(-one) to-be-fed owing starving and*
λιμώττοντι συνεῖναι διπλοῦν βλάβος. ἔρρωσο.
*with-a-starving-man to-be-with double harm farewell*

22

## Γέμελλος Εὐβούλῳ

*Gemellus to-Eubulus*

Παρέκειτο μὲν ἡμῖν ὁ Γέλωνος τοῦ Σικελιώτου πλακοῦς
*was-served indeed to-us the of-Gelon the Sicilian cake*
ἐπώνυμος. ἐγὼ δὲ καὶ τῇ θέᾳ μόνον πρὸς τὰς καταπόσεις
*named-after I and also by-the sight alone for the swallowings*
εὐτρεπιζόμενος εὐφραινόμην· μέλλησις δὲ ἦν πολλή,
*preparing was-delighted delay but was much*
περιστεφόντων τραγημάτων τὰ πέμματα· ἦν δὲ ὁ καρπὸς
*garlanding sweetmeats the cakes was and the fruit*
τῆς πιστάκης καὶ βάλανοι φοινίκων καὶ κάρυα τῶν ἐλύτρων
*of-the pistachio and nuts of-palms and nuts from-the husks*
ἐξῃρημένα. ἐγὼ δὲ πρὸς ταῦτα ἕκαστα ἐχθρὰ βλέπων
*taken-out I but at these each hostile looking*
ἀνέμενον ἐπαφήσειν ἐμαυτὸν ἐγχανὼν τῷ πλακοῦντι. οἱ δὲ
*waited to-let-loose myself gaping at-the cake they but*
καὶ τὸ ἐντραγεῖν ἐπὶ μήκιστον ἐξέτειναν καὶ κύλικος συνεχῶς
*also the to-nibble to longest stretched-out and the-cup continually*
περισοβουμένης διατριβὰς καὶ μελλησμοὺς ἐνεποίουν. τέλος
*being-sent-round delays and postponements caused finally*
ὥσπερ ἐκ συνθήματος τὴν ἐμὴν ἀναρτῶντες ἐπιθυμίαν
*as-if from a-signal the my hanging-up desire*
ὁ μέν τις κάρφος λαβὼν ἐξεκάθαιρε τὰ ἐνιζάνοντα
*one indeed someone a-twig having-taken cleaned-out the-bits lodging*
τῶν βρωμάτων τοῖς ὀδοῦσιν ἰνώδη, ὁ δὲ ὑπτιάσας
*of-the food in-the teeth stringy another and having-laid-back*
ἑαυτὸν οἷος ἦν ὕπνῳ κατέχεσθαι μᾶλλον ἢ τῆς τραπέζης
*himself such-as was by-sleep to-be-held rather than of-the table*
φροντίζειν· εἶτα ἄλλος ἄλλῳ διελέγετο, καὶ πάντα μᾶλλον
*to-think then other with-other conversed and everything rather*

ἐπράττετο ἢ ὁ ἡδὺς ἐκεῖνος καὶ ποθητὸς ἡμῖν πλακοῦς εἰς
*was-done than the sweet that and longed-for for-us cake to*
ἀπόλαυσιν ἦρχετο. τέλος, ὡς εἰκός, οἱ θεοὶ κατοικτείραντες
*enjoyment came finally as is-likely the gods having-pitied*
τὸ κατάξηρον τῆς ἐμῆς ἐπιθυμίας μόλις ποτὲ ἱμείροντά
*the parchedness of-the my desire with-difficulty at-last longing*
με τοῦ πλακοῦντος ἀπογεύσασθαι παρεσκεύασαν. ταῦτά
*me of-the cake to-taste they-arranged these-things*
σοι γράφω οὐ τοσοῦτον ἐπὶ τοῖς ἡδέσιν ἡσθείς,
*to-you I-write not so-much at the pleasures having-been-pleased*
ὅσον ἐπὶ τῇ παρολκῇ τῆς βραδυτῆτος ἐκτακείς.
*as at the drawing-out of-the slowness having-melted-away*

23

## Πλατύλαιμος Ἐρεβινθολέποντι

*Platylaemus to-Erebintholeon*

Οὐπώποτε ἐγὼ κατὰ τὴν Ἀττικὴν ὑπέμεινα τοιοῦτον
*never-yet I in — Attica endured such*
χειμῶνα. οὐ γὰρ μόνον ἐκ παραλλήλου φυσῶντες, μᾶλλον
*a-storm not for only from side-by-side blowing rather*
δὲ φύρδην φερόμενοι κατεκτύπουν ἡμῶν οἱ ἄνεμοι, ἀλλ᾽
*but in-a-jumble rushing beat-upon us the winds but*
ἤδη καὶ χιὼν πυκνὴ καὶ ἐπάλληλος φερομένη πρῶτον
*already also snow thick and one-upon-another falling first*
μὲν τοὔδαφος ἐκάλυπτεν, ἔπειτα οὐκ ἐπιπολῆς ἀλλ᾽ εἰς
*indeed the-ground covered then not on-the-surface but into*
ὕψος ἤρετο τῆς νιφάδος χύμα πάμπολυ, ὡς ἀγαπητὸν
*height rose of-the snowfall a-heap very-great so-that welcome*
εἶναι τὸ θυρίον ἀνοίξαντα τῆς οἰκίας τὸν στενωπὸν ἰδεῖν.
*to-be the little-door having-opened of-the house the alley to-see*

ἐμοὶ δὲ οὔτε ξύλον οὔτε ἄσβολος παρῆν. πῶς γὰρ ἢ πόθεν;
*to-me but neither wood nor soot was-there how for or whence*
ὁ κρυμὸς δὲ εἰσεδύετο μέχρι μυελῶν αὐτῶν καὶ ὀστέων.
*the frost and crept-in up-to the-marrow themselves and bones*
ἐβουλευσάμην οὖν Ὀδύσσειον βούλευμα δραμεῖν εἰς τὰς
*I-planned then an-Odyssean plan to-run into the*
θόλους ἢ τὰς καμίνους τῶν βαλανείων. ἀλλ᾽ οὐδὲ ἐκεῖσε
*round-houses or the furnaces of-the baths but not-even there*
συνεχώρουν οἱ τῶν ὁμοτέχνων περὶ ταῦτα ἀλινδούμενοι·
*allowed those of-the fellow-craftsmen about these rolling*
καὶ γὰρ αὐτοὺς ἡ παραπλησία θεὸς ἠνώχλει πενία. ὡς
*and for them the like goddess was-troubling poverty when*
οὖν ᾐσθόμην οὐκ εἶναί μοι εἰς ταῦτα εἰσιτητόν, δραμὼν
*then I-perceived not to-be for-me into these enterable having-run*
ἐπὶ τὸ Θρασύλου βαλανεῖον ἰδιωτικῆς οἰκίας, εὗρον τοῦτο
*to the of-Thrasylus bath of-a-private house I-found this*
κενὸν καὶ καταβαλὼν ὀβολοὺς δύο καὶ τὸν βαλανέα
*empty and having-paid obols two and the bath-man*
τούτοις ἵλεων καταστήσας ἐθερόμην ἄχρις οὗ τὸν νιφετὸν
*with-these gracious having-made I-warmed-myself until — the snowfall*
πηγυλὶς διεδέξατο, καὶ ὑπὸ τοῦ κρύους τοῦ μεταξὺ διεροῦ
*hard-frost succeeded and by the frost of-the between moisture*
παγέντος πρὸς ἀλλήλους ἐδέδεντο οἱ λίθοι. μετὰ δὲ τὸ
*having-frozen to one-another were-bound the stones after and the*
ἀποβράσαι τὸ δριμὺ προσηνὴς ὁ ἥλιος ἐλευθέραν μοι
*to-boil-off the sharpness kindly the sun free for-me*
τὴν πρόοδον καὶ περιπάτους ἀνειμένους ἀπέφηνεν.
*the going-out and walks relaxed made*

24

## Ἀμνίων Φιλομόσχῳ

*Amnion to-Philomoschus*

Ἀπέκειρεν ἡμῶν ἡ χάλαζα βαρέως ἐμπεσοῦσα τὰ λήια,
*sheared our the hail heavily having-fallen the crops*
καὶ λιμοῦ φάρμακον οὐδέν. ὠνεῖσθαι δὲ ἡμῖν ἐπακτοὺς
*and of-famine remedy none to-buy but for-us imported*
πυροὺς οὐχ οἷόν τε διὰ σπάνιν κερμάτων. ἔστι δέ
*wheat not possible — because-of scarcity of-coins there-are and*
σοι, ὡς ἀκούω, τῆς πέρυσιν εὐετηρίας λείψανα. δάνεισον
*to-you as I-hear of-the last-year's good-harvest remains lend*
οὖν μοι μεδίμνους εἴκοσιν, ὡς ἂν ἔχωμεν σώζεσθαι
*then to-me medimni twenty so-that — we-may-have to-be-saved*
αὐτὸς καὶ ἡ γυνὴ καὶ τὰ παιδία. καρπῶν δὲ εὐφορίας
*I-myself and the wife and the children of-crops and abundance*
γενομένης ἐκτίσομεν αὐτὸ τὸ μέτρον, καὶ λῷον ἐάν τις
*having-come we-will-repay the-very the measure and better if some*
ἀφθονία γένηται. μὴ δὴ περιΐδῃς ἀγαθοὺς γείτονας εἰς
*plenty comes not indeed overlook good neighbors in*
στενὸν τοῦ καιροῦ φθειρομένους.
*straits of-the time perishing*

25

## Εὐπέταλος Ἐλατίωνι

*Eupetalus to-Elation*

Οὐδέν με τῆς γῆς ἀμειβομένης τῶν πόνων ἀντάξιον, ἔγνων
*nothing me the land paying-back of-the toils worth I-resolved*
ἐμαυτὸν ἐπιδοῦναι θαλάττῃ καὶ κύμασι. ζῆν μὲν γὰρ καὶ
*myself to-give-over to-sea and to-waves to-live indeed for and*

τεθνάναι μεμοίραται πᾶσιν ἡμῖν, καὶ οὐκ ἔστι τὸ χρέος
*to-have-died is-allotted to-all us and not it-is-possible the debt*
φυγεῖν, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ.
*to-flee even-if in a-little-house someone himself having-shut-in keep*
ἐνεργὸς γὰρ ἡ εἱμαρμένη καὶ τὸ πεπρωμένον ἄφυκτον·
*effective for the fate and the destined inescapable*
ὥστε τὸ ζῆν οὐδ' ὑπὸ τούτοις ταλαντεύεται, ἀλλ' ὑπὸ τῆς
*so-that the to-live not-even by these is-weighed but by the*
τύχης βραβεύεται. ἤδη γάρ τινες μὲν ἐπὶ γῆς ὠκύμοροι,
*fortune is-umpired already for some indeed on land short-lived*
ἐπὶ θαλάττης δὲ μακρόβιοι κατεβίωσαν· ὥστε εἰδὼς
*at sea and long-lived have-lived-out so-that knowing*
ταῦθ' οὕτως ἔχειν ἐπὶ ναυτιλίαν βαδιοῦμαι καὶ ἀνέμοις
*these-things so to-be to seafaring I-will-go and with-winds*
ὁμιλήσω καὶ κύμασι. κρεῖττον γὰρ ἐπανήκειν ἐκ Βοσπόρου
*I-will-consort and with-waves better for to-return from Bosporus*
καὶ Προποντίδος νεόπλουτον, ἢ καθήμενον ἐπὶ ταῖς τῆς
*and Propontis newly-rich than sitting on the —*
Ἀττικῆς ἐσχατιαῖς λιμῶδες καὶ αὐχμηρὸν ἐρυγγάνειν.
*of-Attica outskirts hungry and parched to-belch*

26

## Ἀγελαρχίδης Πυθολάῳ

*Agelarchides to-Pytholaus*

Μέγα, ὦ γενναῖε, κακόν εἰσιν οἱ κατὰ τὴν πόλιν
*great O noble-friend an-evil are the in the city*
τοκογλύφοι. ἐγὼ γὰρ οὐκ οἶδα τί παθών, δέον
*usurers I for not know what having-suffered when-it-was-needful*
παρὰ σὲ ἢ παρά τινα ἄλλον τῶν κατ' ἀγροὺς γειτόνων
*to you or to some other of-the in country neighbors*

ἐλθεῖν, ἐπεὶ κατέστην ἐν χρείᾳ χρημάτων, βουλόμενος
*to-go when I-stood in need of-money wishing*
ἐπὶ Κολωνῷ πρίασθαι χωρίον, ξεναγήσαντός μέ τινος
*at Colonus to-buy a-farm having-guided me someone*
τῶν ἀστικῶν ἐπὶ τὰς Μαρψίου θύρας ἀφικόμην. εἶτα
*of-the townsmen to the of-Marpsius doors I-came then*
καταλαμβάνω πρεσβύτην ὀφθῆναι ῥικνόν, συνεσπακότα τὰς
*I-find an-old-man to-be-seen shriveled having-drawn-together the*
ὀφρῦς, χαρτίδια ἀρχαῖά τινα, σαπρὰ δὲ διὰ τὸν χρόνον,
*brows papers old some rotten and through the time*
ὑπὸ κόρεων καὶ σητῶν ἡμίβρωτα, διὰ χειρὸς κατέχοντα.
*by bugs and moths half-eaten through hand holding*
εὐθὺς μὲν οὖν μόλις με προσεῖπε, ζημίαν ἡγούμενος
*straightway indeed then with-difficulty me he-addressed a-loss thinking*
τὴν προσηγορίαν. εἶτα τοῦ προξένου φήσαντος ὡς δεοίμην
*the greeting then the introducer having-said that I-needed*
χρημάτων, πόσων ἤρετο ταλάντων. ἐμοῦ δὲ θαυμάσαντος
*money how-many he-asked talents I and having-wondered-at*
τὴν ὑπερβολὴν διέπτυεν εὐθέως καὶ δῆλος ἦν δυσχεραίνων.
*the excess he-spat straightway and clear was being-annoyed*
ὅμως ἐδίδου καὶ ἀπήτει γραμματεῖον καὶ πρὸς τῷ ἀρχαίῳ
*nevertheless he-gave and demanded a-bond and besides the principal*
τόκον βαρύν, καὶ τὴν οὐσίαν ὑποτεθειμένος ἣ ἔστι
*interest heavy and the property having-taken-in-pledge which is*
μοι. μέγα τι κακόν εἰσιν οἱ περὶ τὰς ψήφους καὶ τῶν
*to-me great some evil are those about the counters and of-the*
δακτύλων κάμψεις ἀλινδούμενοι. μή μοι γένοιτο, ἀγροίκων
*fingers bendings rolling not to-me may-it-be of-countrymen*
ἔφοροι δαίμονες, μὴ λύκον ἔτι, μὴ δανειστὴν ἰδεῖν.
*guardian spirits not wolf any-more nor money-lender to-see*

27

## Ἀνίκητος Φοιβιανῇ

*Anicetus to-Phoebiane*

Φεύγεις με, ὦ Φοιβιανή, φεύγεις, καὶ ταῦτα ἀρτίως
*you-flee me O Phoebiane you-flee and this just-now*
ὅλον τὸν ἀγρὸν ἀπενεγκαμένη. τί γὰρ οὐ τῶν ἐμῶν
*whole the farm having-carried-off what for not of-the my-things*
λαβοῦσα ἔχεις; οὐ σῦκα, οὐ τυρὸν ἐκ ταλάρων, οὐκ
*having-taken have-you not figs not cheese from baskets not*
ἔριφον νεογιλόν, οὐκ ἀλεκτορίδων ζεῦγος, οὐ τὰ λοιπὰ
*a-kid newborn not of-hens a-pair not the other*
τρυφήματα πάντα ἔστι σοι ἐξ ἐμοῦ; οὕτως ὅλον
*dainties all are to-you from me so whole*
με αὐτῇ *** κατὰ τὴν παροιμίαν ἀνατρέψασα
*me with-the-very (lacuna) according-to the proverb having-overturned*
δουλεύειν ἐπηνάγκασας. σὺ δὲ οὐδεμίαν ὥραν ἔχεις ἐμοῦ
*to-be-a-slave you-compelled you but no regard have me*
διακαῶς φλεγομένου· ἀλλὰ χαῖρε καὶ ἄπιθι· ἐγὼ δὲ οἴσω
*burningly being-inflamed but farewell and go-away I and will-bear*
βαρέως μέν, οἴσω δὲ ὅμως τὴν ἀτιμίαν.
*heavily indeed will-bear but nevertheless the dishonor*

28

## Φοιβιανὴ Ἀνικήτῳ

*Phoebiane to-Anicetus*

Ὠδίνουσά με ἀρτίως ἥκειν ὡς ἑαυτὴν ἡ τοῦ γείτονος
*in-labor me just-now to-come to herself the of-the neighbor*
μετέπεμψε γυνή· καὶ δῆτα ᾔειν ἀραμένη τὰ πρὸς τὴν
*sent-for wife and indeed I-went having-taken-up the-things for the*

τέχνην, σὺ δὲ ἐξαπιναῖος ἐπιστὰς ἐπειρῶ τὴν δέρην
*craft you and sudden having-come-upon tried the neck*
ἀνακλάσας κύσαι. οὐ παύσῃ τρικόρωνον καὶ ταλάντατον
*having-bent-back to-kiss not will-you-stop thrice-crow-aged and most-wretched*
γερόντιον πειρῶν τὰς ἐφ' ἡλικίας ἀνθούσας ἡμᾶς ὥς
*little-old-man trying those in youth blooming us like*
τις ἄρτι νεάζειν ἀρχόμενος; οὐχὶ τῶν κατ' ἀγρὸν
*someone just to-be-young beginning not of-the in country*
πόνων ἀφεῖσαι ἀεργὸς τῶν ἰδίων προϊστάμενος;
*labors you-have-been-released idle of-the own-affairs taking-charge*
οὐχὶ τοὐπτανίου καὶ τῆς ἐσχάρας ὡς ἀδύνατος ὢν
*not from-the-kitchen and from-the hearth as powerless being*
ἐξέωσαι; πῶς οὖν τακερὸν βλέπεις καὶ ***
*have-you-been-thrust-out how then languishingly you-look and (lacuna)*
ἀναπνέεις; πέπαυσο, Κέρκοψ ἄθλιε, καὶ τρέπου κατὰ
*you-breathe stop Cercops wretch and turn by*
σεαυτόν, ὦ πρέσβυ, μή σε λαβοῦσα κακόν τι ἐργάσωμαι.
*yourself O old-man lest you having-caught evil some I-should-do*

*Glycera commends Menander, bound for the Isthmian games at Corinth, to Bacchis, fearing his amorousness more than her friend, and asks to have him back as he went. Bacchis thanks Hyperides, for all the courtesans, for defending Phryne against the charge of impiety, bids Phryne never take back the prosecutor Euthias, and scolds Myrrhine for taking him up. Thais complains to Thessale that Euxippe sided with Megara and mocked her at the Haloa, and tells Euthydemus, turned philosopher, that his sophist teacher has long pursued her, that sophist and courtesan alike work for the fee, and that the courtesan Aspasia taught Pericles while Socrates taught Critias. Simalion laments being shut out by Petale, who replies that tears do not pay a courtesan's household.*

*29*

## Γλυκέρα Βακχίδι

*Glycera to-Bacchis*

Ὁ Μένανδρος ἡμῶν ἐπὶ τὴν τῶν Ἰσθμίων θέαν εἰς
*— Menander our to the of-the Isthmia spectacle into*
τὴν Κόρινθον ἐλθεῖν βεβούληται· ἐμοὶ μὲν οὐ κατὰ
*— Corinth to-go has-wished to-me indeed not according-to*
νοῦν· οἶδας γὰρ οἷόν ἐστιν ἐραστοῦ τοιούτου καὶ
*mind you-know for what-sort it-is of-a-lover such even*
βραχὺν ὑστερῆσαι χρόνον. ἀποτρέπειν δ' οὐκ ἐνῆν
*a-short to-miss time to-dissuade but not it-was-possible*
μὴ πολλάκις ἀποδημεῖν εἰωθότος. οὐδ' ὅπως αὐτὸν
*not often to-go-abroad being-accustomed nor how him*
παρεγγυήσω μέλλοντα ἐπιδημήσειν ἔχω, οὐδ' ὅπως μή,
*I-may-commend being-about to-stay I-have nor how not*
βουλόμενον αὐτὸν σπουδασθῆναι ὑπὸ σοῦ· κἀμοί τινα
*wishing him to-be-courted by you and-to-me some*
φέρειν φιλοτιμίαν τοῦτο λογίζομαι· οἶδα γὰρ τὴν οὖσαν
*to-bring pride this I-reckon I-know for the existing*

ἡμῖν ἑταιρίαν πρὸς ἀλλήλας. δέδοικα δέ, ὦ φιλτάτη, οὐ σὲ
*for-us companionship toward one-another I-fear and O dearest not you*
τοσοῦτον (χρηστοτέρῳ γὰρ ἤθει κέχρησαι τοῦ βίου) ὅσον
*so-much with-a-better for character you-have-used of-the life as*
αὐτὸν ἐκεῖνον. ἐρωτικὸς γάρ ἐστι δαιμονίως, καὶ Βακχίδος
*him that-man amorous for he-is wonderfully and from-Bacchis*
οὐδ' ἂν τῶν σκυθρωποτάτων τὶς ἀπόσχοιτο. τὸ μὲν
*not-even — of-the most-sullen anyone would-hold-off the indeed*
γὰρ δοκεῖν αὐτὸν ἔλαττον τοῦ σοὶ ἐντυχεῖν ἢ τῶν
*for to-seem him less the with-you to-meet than the*
Ἰσθμίων ἕνεκεν τὴν ἀποδήμησιν πεποιῆσθαι, οὐ πάνυ
*Isthmia for-the-sake-of the trip to-have-made not altogether*
πείθομαι. ἴσως αἰτιάσῃ με τῆς ὑποψίας. συγγίνωσκε δὲ
*I-believe perhaps you-will-blame me for-the suspicion forgive and*
ταῖς ἑταιρικαῖς, ὦ φιλτάτη, ζηλοτυπίαις. ἐγὼ δ' οὐ παρὰ
*the courtesan's O dearest jealousies I and not by*
μικρὸν ἡγούμην Μενάνδρου διαμαρτεῖν ἐραστοῦ. ἄλλως
*little thought Menander to-lose a-lover otherwise*
τε κἂν μοι κνισμός τις ᾖ πρὸς αὐτὸν ἢ διαφορὰ
*both even-if to-me a-tiff some should-be toward him or quarrel*
γένηται, δεήσει με ἐπὶ τῆς σκηνῆς ὑπὸ Χρέμητός
*arise it-will-be-needful me on the stage by Chremes*
τινος ἢ Φειδύλου πικρῶς λοιδορεῖσθαι. ἐὰν δ' ἐπανέλθῃ
*some or Phidylus bitterly to-be-reviled if but he-come-back*
μοι οἷος ᾤχετο, πολλὴν εἴσομαί σοι χάριν. ἔρρωσο.
*to-me such-as he-went much I-shall-know to-you gratitude farewell*

30

## Βακχὶς Ὑπερίδῃ

*Bacchis to-Hyperides*

Πᾶσαί σοι ἴσμεν αἱ ἑταῖραι χάριν καὶ ἑκάστη γε ἡμῶν
*all to-you we-know the courtesans gratitude and each at-least of-us*
οὐχ ἧττον ἢ Φρύνη. ὁ μὲν γὰρ ἀγὼν μόνης Φρύνης, ὃν
*not less than Phryne the indeed for trial of-only Phryne which*
ὁ παμπόνηρος Εὐθίας ἐπανείλετο, ὁ δὲ κίνδυνος ἁπασῶν.
*the utterly-wicked Euthias took-up the but danger of-all*
εἰ γὰρ αἰτοῦσαι παρὰ τῶν ἐραστῶν ἀργύριον οὐ τυγχάνομεν
*if for asking from the lovers money not we-obtain*
ἢ τοῖς διδοῦσιν αἱ τυγχάνουσαι ἀσεβείας κριθησόμεθα,
*or to-those giving those obtaining for-impiety we-shall-be-tried*
πεπαῦσθαι κρεῖττον ἡμῖν τοῦ βίου τούτου καὶ μηκέτι ἔχειν
*to-have-ceased better for-us from-the life this and no-longer to-have*
πράγματα μήτε τοῖς ὁμιλοῦσι παρέχειν. νῦν δ᾽ οὐκέτι τὸ
*troubles nor to-those consorting to-give now but no-longer the*
ἑταιρεῖν αἰτιασόμεθα ὅτι πονηρὸς Εὐθίας ἐραστὴς εὑρέθη,
*to-be-a-courtesan we-shall-blame because wicked Euthias a-lover was-found*
ἀλλ᾽ ὅτι ἐπιεικὴς Ὑπερίδης ζηλώσομεν. πολλὰ τοίνυν
*but because decent Hyperides we-shall-emulate many therefore*
ἀγαθὰ γένοιτό σοι τῆς φιλανθρωπίας. καὶ γὰρ ἑταίραν
*good-things may-come to-you for-the kindness and for a-courtesan*
χρηστὴν σεαυτῷ περιεσώσω, καὶ ἡμᾶς ἀμειψομένας σε ἀντ᾽
*good for-yourself you-saved and us to-be-going-to-repay you for*
ἐκείνης παρεσκεύασας. εἰ δὲ δὴ καὶ τὸν λόγον γράψαις
*her you-have-prepared if and indeed also the speech you-should-write*
τὸν ὑπὲρ τῆς Φρύνης, τότε ἂν ὡς ἀληθῶς χρυσοῦν
*the on-behalf-of — Phryne then — as truly of-gold*
αἱ ἑταῖραί σε στήσαιμεν ὅπῃ ποτὲ βούλει τῆς Ἑλλάδος.
*the courtesans you we-would-set-up wherever ever you-wish — of-Greece*

31

## Βακχὶς Φρύνῃ

*Bacchis to-Phryne*

Οὐ τοσοῦτόν σοι τοῦ κινδύνου συνηχθέσθην, ὦ φιλτάτη,
*not so-much with-you at-the danger I-was-vexed O dearest*
ὅσον ὅτι πονηροῦ μὲν ἀπηλλάγης ἐραστοῦ χρηστὸν δὲ
*as that wicked indeed you-were-freed-from lover good and*
εὗρες, συνήσθην. τὴν γὰρ δίκην σοι καὶ πρὸς εὐτυχίαν
*you-found I-rejoiced-with the for trial for-you also toward good-fortune*
γεγονέναι νομίζω. διαβόητον γάρ σε οὐκ ἐν ταῖς Ἀθήναις
*to-have-become I-think famous for you not in — Athens*
μόνον, ἀλλὰ καὶ ἐν τῇ Ἑλλάδι ἁπάσῃ ὁ ἀγὼν ἐκεῖνος
*only but also in — Greece all the trial that*
πεποίηκεν. Εὐθίας μὲν οὖν ἱκανὴν τιμωρίαν δώσει τῆς
*has-made Euthias indeed therefore sufficient penalty will-pay of-the*
σῆς ὁμιλίας στερούμενος· ὑπὸ γὰρ ὀργῆς μοι δοκεῖ κινηθεὶς
*your company being-deprived by for anger to-me he-seems moved*
διὰ τὴν ἔμφυτον ἀμαθίαν ὑπερᾶραι τὸ μέτρον τῆς
*because-of the inborn ignorance to-have-overstepped the measure of-the*
ἐρωτικῆς ζηλοτυπίας. καὶ νῦν ἐκεῖνον ἐρῶντα μᾶλλον
*amorous jealousy and now that-man loving more*
εὖ ἴσθι ἢ Ὑπερίδην. ὁ μὲν γὰρ διὰ τὴν τῆς
*well know than Hyperides the-one indeed for because-of the of-the*
συνηγορίας χάριν δῆλός ἐστι σπουδάζεσθαι βουλόμενος καὶ
*advocacy favor clear he-is to-be-courted wishing and*
ἐρώμενον ἑαυτὸν ποιῶν, ὁ δὲ τῷ ἀποτεύγματι τῆς
*beloved himself making the-other and by-the failure of-the*
δίκης παρώξυνται. προσδέχου δὴ πάλιν ἀπ᾽ αὐτοῦ δεήσεις
*suit is-exasperated expect indeed again from him entreaties*
καὶ λιτανείας καὶ πολὺ χρυσίον. μὴ δὴ καταδιαιτήσῃς
*and supplications and much gold not indeed condemn*

ἡμῶν, ὦ φιλτάτη, τῶν ἑταιρῶν, μηδ' Ὑπερίδην κακῶς δόξαι
*us O dearest the courtesans nor Hyperides badly to-seem*
βεβουλεῦσθαι ποιήσῃς τὰς Εὐθίου ἱκεσίας προσιεμένη, μηδὲ
*to-have-counseled make the of-Euthias supplications admitting nor*
τοῖς λέγουσί σοι ὅτι, εἰ μὴ τὸν χιτωνίσκον περιρρηξαμένη
*to-those telling you that if not the shift having-torn-open*
τὰ μαστάρια τοῖς δικασταῖς ἐπέδειξας, οὐδ' ἂν ὁ ῥήτωρ
*the little-breasts to-the jurors you-had-shown not-even — the orator*
ὠφέλει, πείθου. καὶ γὰρ αὐτὸ τοῦτο ἵνα ἐν καιρῷ
*would-have-helped believe and for itself this so-that in time*
γένηταί σοι ἡ ἐκείνου παρέσχε συνηγορία.
*might-come for-you the of-that-man provided advocacy*

32

## Βακχὶς Μυρρίνῃ

*Bacchis to-Myrrhine*

Μὴ δὴ κρείττονος εἴη σοι τυχεῖν ἐραστοῦ,
*not indeed of-a-better may-it-be for-you to-get lover*
δέσποινα Ἀφροδίτη, ἀλλ' Εὐθίας σοι ὃν νῦν περιέπεις
*lady Aphrodite but Euthias for-you whom now you-cherish*
συγκαταβιώῃ. τάλαινα γυνὴ τῆς ἀνοίας, ἥτις τῷ
*may-he-live-out-his-life-with wretched woman for-the folly who with-the*
τοιούτῳ θηρίῳ προσέφθαρσαι. πλὴν ἴσως τῷ κάλλει
*such beast have-ruined-yourself except perhaps in-the beauty*
πεπίστευκας· Μυρρίνην γὰρ στέρξει δῆλον ὅτι Φρύνην
*you-have-trusted Myrrhine for he-will-love clear that Phryne*
ὑπεριδών. ἀλλ' ἔοικας κνίσαι τὸν Ὑπερίδην βεβουλῆσθαι
*having-despised but you-seem to-vex — Hyperides to-have-wished*
ὡς ἔλαττόν σοι νῦν προσέχοντα. κἀκεῖνος ἑταίραν ἔχει
*as less to-you now attending and-he a-courtesan has*

ἀξίαν ἑαυτοῦ καὶ σὺ ἐραστήν σοι πρέποντα. αἴτησόν
*worthy of-himself and you a-lover for-you fitting ask*
τι παρ᾽ αὐτοῦ, καὶ ὄψει σεαυτὴν ἢ τὰ νεώρια
*something from him and you-will-see yourself either the dockyards*
ἐμπεπρηκυῖαν ἢ τοὺς νόμους καταλύουσαν. ἴσθι γοῦν ὅτι
*having-set-on-fire or the laws overthrowing know at-any-rate that*
παρὰ πάσαις ἡμῖν ταῖς τὴν φιλανθρωποτέραν ἀφροδίτην
*among all us those the kindlier love*
προτιμώσαις μεμίσησαι.
*preferring you-are-hated*

33

## Θαΐς Θεττάλῃ

*Thais to-Thessale*

Οὐκ ἄν ποτ᾽ ᾠήθην ἐκ τοσαύτης συνηθείας
*not — ever I-would-have-thought from so-great intimacy*
ἔσεσθαί μοί τινα πρὸς Εὐξίππην διαφοράν. καὶ τὰ
*to-be-going-to-be for-me any with Euxippe quarrel and the*
μὲν ἄλλα ἐν οἷς αὐτῇ χρησίμη γέγονα ὑπὸ τὸν ἀπὸ
*indeed other-things in which to-her useful I-have-been at the from*
τῆς Σάμου κατάπλουν, οὐκ ὀνειδίζω· ἀλλὰ Παμφίλου
*— Samos sailing-home not I-reproach but of-Pamphilus*
γινώσκεις τοῦτο καὶ σὺ ὅσον ἡμῖν διδόντος ἀργύριον, ὅτι
*you-know this also you how-much to-us giving money that*
ταύτῃ ποτὲ ἐντυγχάνειν ἐδόκει, τὸ μειράκιον οὐ προσιέμην.
*her once to-visit seemed the youth not I-admitted*
ἡ δὲ καλῶς ἡμᾶς ἀντὶ τούτων ἠμείψατο τῇ κάκιστ᾽
*she and finely us for these repaid to-the in-the-worst-way*
ἀπολουμένῃ Μεγάρᾳ χαρίζεσθαι θέλουσα. πρὸς ἐκείνην δ᾽
*to-be-going-to-perish Megara to-oblige wishing toward that-one and*

ἦν τις παλαιά μοι διὰ Στράτωνα ὑπόνοια. ἀλλὰ ταύτην
*was some old for-me because-of Strato suspicion but this-one*
μὲν οὐδὲν ᾤμην ποιεῖν παράλογον κακῶς λέγουσάν με.
*indeed nothing I-thought to-do unreasonable badly speaking-of me*
ἁλῶα δ' ἦν, κἀπὶ τὴν παννυχίδα πᾶσαι, ὥσπερ ἦν εἰκός,
*Haloa and it-was and-at the night-festival all as it-was likely*
παρῆμεν. ἐθαύμαζον δὲ τῆς Εὐξίππης τὴν ἀγερωχίαν· τὸ
*we-were-present I-wondered and — at-Euxippe the arrogance the*
μὲν γὰρ πρῶτον κιχλίζουσα μετ' ἐκείνης καὶ μωκωμένη τὴν
*indeed for first giggling with that-one and mocking the*
δυσμένειαν ἐνεδείκνυτο, εἶτα φανερῶς ποιήματα ᾖδεν εἰς τὸν
*enmity she-displayed then openly songs she-sang at the*
οὐκέθ' ἡμῖν προσέχοντα ἐραστήν. κἀπὶ τούτοις μὲν ἧττον
*no-longer to-us attending lover and-at these-things indeed less*
ἤλγουν· ἀπαναισχυντήσασα δὲ εἰς τὸ φῦκός με καὶ τὸν
*I-was-pained having-become-shameless but at the rouge me and the*
παιδέρωτα ἔσκωπτεν. ἐδόκει δέ μοι πάνυ κακῶς πράττειν
*blush-paint she-jeered she-seemed and to-me very badly to-fare*
ὡς μηδὲ κάτοπτρον κεκτῆσθαι· εἰ γὰρ εἶδεν ἑαυτὴν χρῶμα
*as not-even a-mirror to-have-got if for she-saw herself color*
σανδαράχης ἔχουσαν, οὐκ ἂν ἡμᾶς εἰς ἀμορφίαν ἐβλασφήμει.
*of-red-arsenic having not — us for ugliness she-would-revile*
ἐμοὶ μὲν οὖν βραχὺ μέλει περὶ τούτων· ἀρέσκειν γὰρ τοῖς
*to-me indeed then little it-matters about these-things to-please for the*
ἐρασταῖς, οὐχὶ Μεγάρᾳ καὶ Εὐξίππῃ βούλομαι ταῖς πιθήκοις.
*lovers not Megara and Euxippe I-wish the she-apes*
δεδήλωκα δέ σοι ἵνα μή μέ τι μέμψῃ. ἀμυνοῦμαι
*I-have-shown and to-you so-that not me at-all you-blame I-will-pay-back*
γὰρ αὐτὰς οὐκ ἐν σκώμμασιν οὐδὲ βλασφημίαις, ἀλλ' ἐν
*for them not in jibes nor slanders but in*
οἷς μάλιστα ἀνιάσονται. προσκυνῶ δὲ τὴν Νέμεσιν.
*(things)-by-which most they-will-be-grieved I-bow-to and — Nemesis*

34

## Θάϊς Εὐθυδήμῳ

*Thais to-Euthydemus*

Ἐξ οὗ φιλοσοφεῖν ἐπενόησας, σεμνός τις ἐγένου καὶ
*from which to-philosophize you-took-it-into-your-head solemn some you-became and*
τὰς ὀφρῦς ὑπὲρ τοὺς κροτάφους ἐπῆρας. εἶτα σχῆμα ἔχων
*the brows above the temples you-raised then a-pose having*
καὶ βιβλίδιον μετὰ χεῖρας εἰς τὴν Ἀκαδήμειαν σοβεῖς, τὴν
*and a-little-book in hands to the Academy you-strut the*
δὲ ἡμετέραν οἰκίαν ὡς οὐδὲ ἰδὼν πρότερον παρέρχῃ.
*and our house as not-even having-seen before you-pass-by*
ἐμάνης Εὐθύδημε· οὐκ οἶδας οἷός ἐστιν ὁ σοφιστὴς
*you-are-mad Euthydemus not you-know what-sort is the sophist*
οὗτος ὁ ἐσκυθρωπακὼς καὶ τοὺς θαυμαστοὺς τούτους
*this the-one having-put-on-a-sour-face and the wonderful these*
διεξιὼν πρὸς ὑμᾶς λόγους. ἀλλ᾽ ἐμοὶ μὲν πράγματα
*going-through to you discourses but to-me indeed trouble*
πόσος ἐστὶν οἴει χρόνος ἐξ οὗ παρέχει βουλόμενος
*how-much is do-you-think time from which he-gives wishing*
ἐντυχεῖν. προσφθείρεται δὲ Ἑρπυλλίδι τῇ Μεγάρας ἅβρᾳ.
*to-meet-(me) he-is-ruining-himself and with-Herpyllis the of-Megara maid*
τότε μὲν οὖν αὐτὸν οὐ προσιέμην, σὲ γὰρ περιβάλλουσα
*then indeed therefore him not I-admitted you for embracing*
κοιμᾶσθαι μᾶλλον ἐβουλόμην ἢ τὸ παρὰ πάντων
*to-sleep rather I-wished than the from all*
σοφιστῶν χρυσίον. ἐπεὶ δέ σε ἀποτρέπειν ἔοικε τῆς
*sophists gold since but you to-turn-away he-seems from-the*
μεθ᾽ ἡμῶν συνηθείας, ὑποδέξομαι αὐτὸν καί, εἰ βούλει, τὸν
*with us intimacy I-will-receive him and if you-wish the*
διδάσκαλον τουτονὶ τὸν μισογύναιον ἐπιδείξω σοι νυκτὸς
*teacher this-here the woman-hater I-will-show to-you by-night*

οὐκ ἀρκούμενον ταῖς συνήθεσιν ἡδοναῖς. λῆροι ταῦτά εἰσι
*not being-content with-the usual pleasures nonsense these-things are*
καὶ τῦφος καὶ ἐργολάβεια μειρακίων, ὦ ἀνόητε. οἴει
*and conceit and trafficking of-youths O fool do-you-think*
δὲ διαφέρειν ἑταίρας σοφιστήν; τοσοῦτον ἴσως ὅσον
*and to-differ from-a-courtesan a-sophist so-much perhaps as*
οὐ διὰ τῶν αὐτῶν ἑκάτεροι πείθουσιν, ἐπεὶ ἕν γε
*not through the same-means each persuade since one at-least*
ἀμφοτέροις τέλος πρόκειται τὸ λαβεῖν. πόσῳ δὲ ἀμείνους
*for-both end is-set-before the to-take how-much and better*
ἡμεῖς καὶ εὐσεβέστεραι· οὐ λέγομεν θεοὺς οὐκ εἶναι, ἀλλὰ
*we and more-pious not we-say gods not to-be but*
πιστεύομεν ὀμνύουσι τοῖς ἐρασταῖς ὅτι φιλοῦσιν ἡμᾶς·
*we-believe swearing the lovers that they-love us*
οὐδ' ἀξιοῦμεν ἀδελφαῖς καὶ μητράσι μίγνυσθαι τοὺς
*nor do-we-think-it-right with-sisters and mothers to-have-intercourse the*
ἄνδρας, ἀλλ' οὐδὲ γυναιξὶν ἀλλοτρίαις. εἰ μὴ ὅτι τὰς
*men but not-even with-wives others' if not that the*
νεφέλας ὁπόθεν εἶεν καὶ τὰς ἀτόμους ὁποῖαι ἀγνοοῦμεν,
*clouds whence they-are and the atoms of-what-sort we-do-not-know*
διὰ τοῦτο ἥττους δοκοῦμέν σοι τῶν σοφιστῶν. καὶ
*because-of this inferior we-seem to-you than-the sophists and*
αὐτὴ παρὰ τούτοις ἐσχόλακα καὶ πολλοῖς διείλεγμαι.
*I-myself with these have-studied and with-many have-conversed*
οὐδὲ εἷς ἑταίρᾳ ὁμιλῶν τυραννίδας ὀνειροπολεῖ καὶ
*not-even one with-a-courtesan consorting tyrannies dreams-of and*
στασιάζει τὰ κοινά, ἀλλὰ σπάσας τὸν ἑωθινὸν καὶ
*stirs-sedition-in the commonwealth but having-drained the morning-draft and*
μεθυσθεὶς εἰς ὥραν τρίτην ἢ τετάρτην ἠρεμεῖ. παιδεύομεν
*having-got-drunk till hour third or fourth he-is-quiet we-educate*
δὲ οὐ χεῖρον ἡμεῖς τοὺς νέους. ἐπεὶ σύγκρινον, εἰ βούλει,
*and not worse we the young since compare if you-wish*

Ἀσπασίαν τὴν ἑταίραν καὶ Σωκράτην τὸν σοφιστήν, καὶ
*Aspasia the courtesan and Socrates the sophist and*
πότερος ἀμείνους αὐτῶν ἐπαίδευσεν ἄνδρας λόγισαι· τῆς
*which better of-them educated men reckon of-the-one*
μὲν γὰρ ὄψει μαθητὴν Περικλέα, τοῦ δὲ Κριτίαν.
*indeed for you-will-see pupil Pericles of-the-other and Critias*
κατάβαλε τὴν μωρίαν ταύτην καὶ ἀηδίαν, ὁ ἐμὸς ἔρως
*throw-down the folly this and unpleasantness the my love*
Εὐθύδημε, οὐ πρέπει σκυθρωποῖς εἶναι τοιούτοις ὄμμασι,
*Euthydemus not it-is-fitting sullen to-be such eyes*
καὶ πρὸς τὴν ἐρωμένην ἦκε τὴν σαυτοῦ οἷος ἐπανελθὼν
*and to the beloved come the your-own as having-come-back*
ἀπὸ Λυκείου πολλάκις *** τὸν ἱδρῶτα ἀποψώμενος,
*from Lyceum often (lacuna) the sweat wiping-off*
ἵνα καὶ μικρὰ κραιπαλήσαντες ἐπιδειξώμεθα ἀλλήλοις
*so-that also a-little having-drunk-deep we-may-show to-one-another*
τὸ καλὸν τέλος τῆς ἡδονῆς. καὶ σοὶ νῦν μάλιστά γε
*the fair end of-the pleasure and to-you now most at-least*
φανοῦμαι σοφή. οὐ μακρὸν δίδωσιν ὁ δαίμων χρόνον τοῦ
*I-shall-appear wise not long gives the deity time of-the*
ζῆν· μὴ λάθῃς τοῦτον εἰς αἰνίγματα καὶ λήρους
*to-live not let-it-escape-your-notice this on riddles and nonsense*
ἀναλώσας. ἔρρωσο.
*having-spent farewell*

35

## Σιμαλίων Πετάλῃ

*Simalion to-Petale*

Εἰ μὲν ἡδονήν σοί τινα φέρειν ἢ φιλοτιμίαν οἴει πρός
*if indeed pleasure to-you some to-bring or pride you-think toward*
τινας τῶν διαλεγομένων σοι τὸ πολλάκις ἡμᾶς ἐπὶ τὰς
*some of-those conversing with-you the often us to the*
θύρας φοιτᾶν καὶ τοῖς πεμπομένοις πρὸς τοὺς εὐτυχεστέρους
*doors to-come and to-the sent to those more-fortunate*
ἡμῶν θεραπαινιδίοις ἀποδύρεσθαι, οὐκ ἀλόγως ἡμῖν
*than-us little-maids to-lament not unreasonably over-us*
ἐντρυφᾷς. ἴσθι μέντοι, καίτοι ποιῶν οἶδα πρᾶγμα ἀσύμφορον
*you-exult know however although doing I-know a-thing unprofitable*
ἐμαυτῷ, οὕτω με διακείμενον ὡς ὀλίγοι τῶν ἐντυγχανόντων
*to-myself so me disposed as few of-those visiting*
σοι νῦν ἀμεληθέντες ἂν διατεθεῖεν. καίτοι γε ᾤμην τὸν
*you now having-been-neglected — would-be-disposed and-yet at-least I-thought the*
ἄκρατον ἔσεσθαί μοι παρηγόρημα, ὃν παρ' Εὐφρονίῳ
*unmixed-wine to-be-going-to-be to-me a-consolation which at Euphronius'*
τρίτην ἑσπέραν πολύν τινα ἐνεφορησάμην, ὡς δὴ τὰς
*third evening much some I-drank-my-fill-of as indeed the*
παρὰ τὴν νύκτα φροντίδας διωσόμενος· τὸ δὲ ἄρα
*in the night cares to-be-going-to-drive-away the-fact but after-all*
ἐναντίως εἶχεν. ἀνερρίπισε γάρ μου τὴν ἐπιθυμίαν ὥστε
*opposite was it-fanned for my the desire so-that*
κλαίοντά με καὶ βρυχώμενον ἐλεεῖσθαι μὲν παρὰ τοῖς
*weeping me and roaring to-be-pitied indeed by the*
ἐπιεικεστέροις, γέλωτα δὲ τοῖς ἄλλοις παρέχειν. μικρὰ δ'
*more-reasonable a-laugh and to-the others to-give small but*
ἔπεστί μοι παραψυχὴ καὶ μαραινόμενον ἤδη παραμύθιον,
*is-upon me relief and fading already consolation*

ὅ μοι ὑπὸ τὴν λυπρὰν ἐν τῷ συμποσίῳ μέμψιν
*which to-me at the grievous at the drinking-party reproach*
προσέρριψας ἀπ᾽ αὐτῶν περισπάσασα τῶν πλοκάμων, ὡς
*you-threw from themselves having-pulled-off the locks as*
μὴ πᾶσι τοῖς ὑφ᾽ ἡμῶν πεμφθεῖσιν ἀχθομένη. εἰ δή σοι
*not with-all the by us sent being-displeased if indeed to-you*
ταῦτα ἡδονὴν φέρει, ἀπόλαυε τῆς ἡμετέρας μερίμνης, κἂν
*these-things pleasure brings enjoy the our anxiety and-if*
ᾖ σοι φίλον διηγοῦ τοῖς νῦν μὲν μακαριωτέροις ἡμῶν, οὐκ
*be to-you dear relate-(it) to-those now indeed more-blessed than-us not*
εἰς μακρὰν δέ, ἄνπερ ὡς ἡμεῖς ἔχωσιν, ἀνιασομένοις.
*to long but if-indeed as we they-should-be to-be-going-to-be-grieved*
εὔχου μέντοι μηδέν σοι νεμεσῆσαι ταύτης τῆς ὑπεροψίας
*pray however nothing to-you to-be-indignant-at of-this the haughtiness*
τὴν Ἀφροδίτην. ἕτερος ἂν λοιδορούμενος ἔγραφε καὶ
*— Aphrodite another — reviling would-write and*
ἀπειλῶν, ἀλλ᾽ ἐγὼ δεόμενος καὶ ἀντιβολῶν· ἐρῶ γὰρ ὦ
*threatening but I begging and entreating I-love for O*
Πετάλη κακῶς. φοβοῦμαι δὲ μὴ κάκιον ἔχων μιμήσομαί
*Petale badly I-fear and lest worse being I-shall-imitate*
τινα τῶν περὶ τὰς ἐρωτικὰς μέμψεις ἀτυχεστέρων.
*some of-those in the amorous reproaches more-unfortunate*

36

## Πετάλη Σιμαλίωνι

*Petale to-Simalion*

Ἐβουλόμην μὲν ὑπὸ δακρύων οἰκίαν ἑταίρας τρέφεσθαι·
*I-would-wish indeed by tears a-house of-a-courtesan to-be-fed*
λαμπρῶς γὰρ ἂν ἔπραττον ἀφθόνων τούτων ἀπολαύουσα
*splendidly for — I-would-fare abundant these enjoying*

παρὰ σοῦ· νῦν δὲ δεῖ χρυσίων ἡμῖν, ἱματίων, κόσμου,
*from you now but there-is-need gold-pieces for-us cloaks finery*
θεραπαινιδίων. ἡ τοῦ βίου διοίκησις ἅπασα ἐντεῦθεν. οὐκ
*little-maids the of-the life management all from-there not*
ἔστιν ἐν Μυρρινοῦντι πατρῷον ἐμοὶ κτημάτιον, οὐδ' ἐν τοῖς
*is at Myrrhinus ancestral to-me a-little-estate nor in the*
ἀργυρείοις ἐμοὶ μέταλλον, ἀλλὰ μισθωμάτια καὶ αἱ δυστυχεῖς
*silver-mines for-me a-mine but little-fees and the unhappy*
αὗται καὶ κατεστεναγμέναι τῶν ἀνοήτων ἐραστῶν χάριτες.
*these and much-groaned-over of-the foolish lovers favors*
σοὶ δὲ ἐνιαυτὸν ἐντυγχάνουσα ἀδημονῶ, καὶ αὐχμηρὰν μὲν
*you and a-year meeting I-am-distressed and squalid indeed*
ἔχω τὴν κεφαλὴν μηδὲ ἰδοῦσα τοῦ χρόνου τούτου μύρον,
*I-have the head not-even having-seen of-the time this perfume*
τὰ δὲ ἀρχαῖα καὶ τρύχινα περιβαλομένη ταραντινίδια
*the and old and ragged having-thrown-on Tarentine-wraps*
αἰσχύνομαι τὰς φίλας. οὕτως ἀγαθόν τί μοι γένοιτο.
*I-am-ashamed-before the friends so good something to-me may-it-happen*
εἶτα οἴει μέ σοι παρακαθημένην πόθεν ζήσειν;
*then do-you-think me with-you sitting-beside from-where to-be-going-to-live*
ἀλλὰ δακρύεις· πεπαύσῃ μετὰ μικρόν. ἐγὼ δὲ ἂν μή τις
*but you-weep you-will-stop after a-little I but if not someone*
ὁ διδοὺς ᾖ, πεινήσω τὸ καλόν. θαυμάζω δέ σου καὶ
*the giving be will-starve the fine-(girl) I-wonder and at-your even*
τὰ δάκρυα ὡς ἔστιν ἀπίθανα. δέσποινα Ἀφροδίτη, φιλεῖς,
*the tears how they-are unconvincing lady Aphrodite you-love*
ἄνθρωπε, φιλεῖς, καὶ βούλει σοι τὴν ἐρωμένην διαλέγεσθαι·
*man you-love and you-wish with-you the beloved to-converse*
ζῆν γὰρ χωρὶς ἐκείνης μὴ δύνασθαι. τί οὖν; οὐ ποτήρια
*to-live for without her not to-be-able why then not cups*
ἔστιν ἐπὶ τῆς οἰκίας ὑμῖν; *** μὴ χρυσία τῆς μητρός,
*are in the house of-you (lacuna) not gold-pieces of-the mother*

μὴ δάνεια τοῦ πατρὸς κομιούμενος. μακαρία Φιλῶτις·
*not loans of-the father to-be-going-to-collect blessed Philotis*
εὐμενεστέροις ὄμμασιν εἶδον ἐκείνην αἱ Χάριτες· οἷον
*with-kinder eyes saw her the Graces what-a*
ἐραστὴν ἔχει Μενεκλείδην, ὃς καθ' ἡμέραν δίδωσί τι.
*lover she-has Menecleides who per day gives something*
ἄμεινον γὰρ ἢ κλάειν. ἐγὼ δὲ ἡ τάλαινα θρηνῳδόν, οὐκ
*better for than to-weep I but the wretched a-mourner not*
ἐραστὴν ἔχω· στεφάνιά μοι καὶ ῥόδα ὥσπερ ἀώρῳ τάφῳ
*a-lover have little-garlands to-me and roses as-if to-an-untimely grave*
πέμπει καὶ κλάειν δι' ὅλης φησὶ τῆς νυκτός. ἐὰν φέρῃς
*he-sends and to-weep through whole he-says the night if you-bring*
τι, ἧκε μὴ κλάων, εἰ δὲ μή, σεαυτὸν οὐχ ἡμᾶς ἀνιάσεις.
*something come not weeping if but not yourself not us you-will-grieve*

*Myrrhine tells Nicippe that Diphilus has gone over to Thessale, and that she will shut him out to win him back, and if that fails, try Nicippe's love-charm. Menecleides mourns Bacchis, who was kind and loyal and a defense of her whole profession. Megara reproaches Bacchis for missing Glycera's party and describes it: songs and garlands till cockcrow, and a contest between Thryallis and Myrrhine over whose buttocks were the more beautiful, which Thryallis won; she bids her come to the Adonia, lover and all. Philumene tells Crito to stop writing letters and send fifty gold pieces.*

37

## Μυρρίνη Νικίππῃ

*Myrrhine to-Nicippe*

Οὐ προσέχει μοὶ τὸν νοῦν ὁ Δίφιλος, ἀλλ' ἅπας ἐπὶ
*not pays to-me the mind — Diphilus but wholly toward*
τὴν ἀκάθαρτον Θεττάλην νένευκε· καὶ μέχρι μὲν τῶν
*the unclean Thessale has-inclined and until indeed the*
Ἀδωνίων καὶ ἐπίκωμός ποτε πρὸς ἡμᾶς καὶ κοιμησόμενος
*Adonia both reveling once to us and to-be-going-to-sleep*
ἐφοίτα, ἤδη μέντοι ὡς ἄν τις ἀκκιζόμενος καὶ
*he-used-to-come already however as — someone being-coy and*
ἐρώμενον ἑαυτὸν ποιῶν καὶ τά γε πλεῖστα ὑπὸ τοῦ
*beloved himself making and the at-least most by —*
Ἕλικος, ὁπότε μεθυσθείη, ὁδηγούμενος· ἐκεῖνος γὰρ τῆς
*Helix whenever he-got-drunk being-led that-one for —*
Ἑρπυλλίδος ἐρῶν τὴν παρ' ἡμῖν ἀγαπᾷ σχολήν· νῦν μέντοι
*of-Herpyllis loving the with us loves leisure now however*
δῆλός ἐστι μηδ' ὅλως ἡμῖν ἐντευξόμενος· τέσσαρας γὰρ
*clear he-is not-even at-all with-us to-be-going-to-meet four for*
ἑξῆς ἡμέρας ἐν τῷ Λύσιδος κήπῳ μετὰ Θεττάλης καὶ τοῦ
*in-a-row days in the of-Lysis garden with Thessale and the*

κάκιστ᾽ ἀπολουμένου Στρογγυλίωνος, ὃς ταύτην αὐτῷ
*in-the-worst-way to-be-going-to-perish Strongylion who her for-him*
προὐμνηστεύσατο τὴν ἐρωμένην ἐμοί τι προσκρούσας,
*procured the beloved me somewhat having-offended*
κραιπαλᾷ. γραμματίδια μὲν οὖν καὶ θεραπαινίδων διαδρομαὶ
*he-carouses little-letters indeed then and of-maids runnings-about*
καὶ ὅσα τοιαῦτα μάτην διήνυσται, καὶ οὐδὲν ἐξ αὐτῶν
*and as-many such-things in-vain have-been-done and no from them*
ὄφελος, δοκεῖ δέ μοι μᾶλλον ὑπὸ τούτων τετυφῶσθαι
*use he-seems and to-me rather by these to-have-been-puffed-up*
καὶ ὑπερεντρυφᾶν ἡμῖν. λοιπὸν οὖν ἀποκλείειν, κἂν ἔλθῃ
*and to-exult-over us for-the-rest then to-shut-out even-if he-come*
ποτὲ πρὸς ἡμᾶς κοιμηθησόμενος, εἰ δὴ κνίσαι ποτὲ
*ever to us to-be-going-to-sleep if indeed to-vex ever*
ἐκείνην βουληθείη, διώσασθαι· εἴωθε γὰρ ἡ βαρύτης τῷ
*that-one he-should-wish to-thrust-away is-wont for the haughtiness by-the*
ἀμελεῖσθαι καταβάλλεσθαι. εἰ δὲ μηδ᾽ οὕτως ἀνύοιμεν,
*to-be-neglected to-be-brought-down if but not-even so we-should-succeed*
θερμοτέρου τινὸς ἡμῖν ὥσπερ τοῖς σφόδρα κάμνουσι
*a-stronger some for-us as for-those very sick*
φαρμάκου δεῖ. δεινὸν γὰρ οὐ τοῦτο μόνον εἰ τῶν παρ᾽
*drug is-needed terrible for not this only if of-the from*
αὐτοῦ μισθωμάτων στερησόμεθα, ἀλλ᾽ εἰ Θεττάλῃ γέλωτα
*him fees we-shall-be-deprived but if to-Thessale a-laugh*
παρέξομεν. ἔστι σοι πειραθέν, ὡς φής, πολλάκις ἐφ᾽
*we-shall-give there-is for-you tested as you-say often in*
ἡλικίας φίλτρον. τοιούτου τινὸς βοηθήματος δεόμεθα, ὃ
*youth a-love-charm of-such some help we-need which*
τὸν πολὺν αὐτοῦ τῦφον, ἀλλ᾽ οὖν καὶ τὴν κραιπάλην
*the much his conceit but anyway also the hangover*
ἐκκορήσειεν. ἐπικηρυκευσόμεθα δὴ αὐτῷ καὶ δακρύσομεν
*may-sweep-out we-will-send-word indeed to-him and will-weep*

πιθανῶς, καὶ τὴν Νέμεσιν δεῖν αὐτὸν ὁρᾶν εἰ οὕτως
*persuasively and — Nemesis it-is-needful him to-regard if so*
ἐμὲ περιόψεται ἐρῶσαν αὐτοῦ, καὶ τοιαῦτα ἄλλα ἐροῦμεν
*me he-will-overlook loving him and such other-things we-will-say*
καὶ πλασόμεθα. ἥξει γὰρ ὡς ἐλεῶν δήπου με καιομένην
*and we-will-pretend he-will-come for as pitying surely me burning*
ἐπ᾽ αὐτῷ· μεμνῆσθαι γὰρ τοῦ παρελθόντος χρόνου καὶ
*for him to-remember for the past time and*
τῆς συνηθείας ἔχειν καλῶς ἐρεῖ, φυσῶν ἑαυτὸν ὁ
*the intimacy to-be well he-will-say puffing himself-up the*
λάσταυρος. συλλήψεται δὲ ἡμῖν καὶ ὁ Ἕλιξ· ἐπ᾽ ἐκεῖνον
*rake will-help and us also — Helix for that-one*
γὰρ ἡ Ἑρπυλλὶς ἀποδύσεται. ἀλλ᾽ ἀμφιβάλλειν εἴωθε τὰ
*for — Herpyllis will-strip but to-be-doubtful are-wont the*
φίλτρα καὶ ἀποσκήψειν εἰς ὄλεθρον. βραχύ μοι μέλει·
*love-charms and to-burst-out into ruin little to-me it-matters*
δεῖ γὰρ αὐτὸν ἢ ἐμοὶ ζῆν ἢ τεθνάναι Θεττάλῃ.
*it-is-needful for him either for-me to-live or to-have-died for-Thessale*

38

## Μενεκλείδης Εὐθυκλεῖ

*Menecleides to-Euthycles*

Οἴχεται Βακχὶς ἡ καλή, Εὐθύκλεις φίλτατε, οἴχεται, πολλά
*is-gone Bacchis the fair Euthycles dearest is-gone many*
τέ μοι καταλιποῦσα δάκρυα καὶ ἔρωτος ὅσον ἡδίστου
*both to-me having-left tears and of-love as-much most-sweet*
τότε, τοσοῦτον πικροῦ νῦν μνήμην. οὐ γὰρ ἐκλήσομαί ποτε
*then so-much bitter now a-memory not for I-shall-forget ever*
Βακχίδος, οὐχ οὗτος ἔσται χρόνος. ὅσην συμπάθειαν
*Bacchis not this will-be the-time how-much sympathy*

ἐνεδείξατο· ἀπολογίαν ἐκείνην καλῶν οὐκ ἄν τις ἁμάρτοι
*she-showed a-defense her calling not — anyone would-err*
τοῦ τῶν ἑταιρῶν βίου. καὶ εἰ συνελθοῦσαι ἅπασαι
*of-the of-the courtesans life and if having-come-together all*
πανταχόθεν εἰκόνα τινὰ αὐτῆς ἐν Ἀφροδίτης ἢ Χαρίτων
*from-everywhere an-image some of-her in Aphrodite's or the-Graces'*
θεῖεν, δεξιὸν ἄν τί μοι ποιῆσαι δοκοῦσιν. τὸ γὰρ
*should-set-up clever — something to-me to-do they-seem the for*
θρυλούμενον ὑπὸ πάντων, ὡς πονηραί, ὡς ἄπιστοι, ὡς
*repeated by all that wicked that faithless how*
πρὸς τὸ λυσιτελὲς βλέπουσαι μόνον, ὡς ἀεὶ τοῦ διδόντος,
*toward the profitable looking only how always of-the giver*
ὡς τίνος γὰρ οὐκ αἴτιαι κακοῦ τοῖς ἐντυγχάνουσι,
*how of-what for not causes evil to-those meeting-(them)*
διαβολὴν ἐπέδειξεν ἐφ' ἑαυτῆς ἄδικον· οὕτω πρὸς τὴν
*a-slander she-showed in herself unjust so against the*
κοινὴν βλασφημίαν τῷ ἤθει παρετάξατο. οἶσθα τὸν
*common calumny with-her character she-was-arrayed you-know the*
Μήδειον ἐκεῖνον τὸν ἀπὸ τῆς Συρίας δευρὶ κατάραντα
*Mede that the from — Syria hither having-landed*
μεθ' ὅσης θεραπείας καὶ παρασκευῆς ἐσόβει, εὐνούχους
*with how-much retinue and equipment he-swaggered eunuchs*
ὑπισχνούμενος καὶ θεραπαίνας καὶ κόσμον τινὰ βαρβαρικόν·
*promising and maids and finery some barbaric*
καὶ ὅμως κλάοντα αὐτὸν οὐ προσίετο, ἀλλ' ὑπὸ τοὐμὸν
*and nevertheless weeping him not she-admitted but under my*
ἠγάπα κοιμωμένη χλανίδιον τὸ λιτὸν τοῦτο καὶ
*she-was-content sleeping little-cloak the plain this and*
δημοτικὸν καὶ τοῖς παρ' ἡμῶν γλίσχρως αὐτῇ πεμπομένοις
*common and to-the from us meagerly to-her sent*
ἐπανέχουσα τὰς σατραπικὰς ἐκείνας καὶ πολυχρύσους
*holding-to the satrapal those and gold-laden*

δωρεὰς διωθεῖτο. τί δέ; τὸν Αἰγύπτιον ἔμπορον ὡς
*gifts she-thrust-away what and the Egyptian merchant how*
ἀπεσκοράκισεν ὅσον ἀργύριον προτείνοντα. οὐδὲν ἐκείνης
*she-sent-packing how-much silver offering nothing than-her*
ἄμεινον εὖ οἶδ' ὅτι γένοιτ' ἄν. ὡς χρηστὸν ἦθος οὐκ
*better well I-know that could-be — how good a-character not*
εἰς εὐδαίμονα βίου προαίρεσιν δαίμων τις ὑπήνεγκεν. εἶτ'
*into a-happy of-life choice a-deity some brought then*
οἴχεται ἡμᾶς ἀπολιποῦσα καὶ κείσεται λοιπὸν μόνη ἡ
*she-is-gone us having-left and she-will-lie for-the-rest alone —*
Βακχίς. ὡς ἄδικον, ὦ φίλαι Μοῖραι· ἔδει γὰρ αὐτῇ
*Bacchis how unjust O dear Fates it-was-needful for to-her*
συγκατακεῖσθαί με καὶ νῦν ὡς τότε. ἀλλ' ἐγὼ μὲν περίειμι
*to-lie-with me also now as then but I indeed survive*
καὶ τροφῆς ψαύω καὶ διαλέξομαι τοῖς ἑταίροις, ἡ δὲ
*and food touch and will-converse with-the companions she and*
οὐκέτι με φαιδροῖς τοῖς ὄμμασιν ὄψεται μειδιῶσα, οὐδὲ
*no-longer me with-bright the eyes will-see smiling nor*
ἵλεως καὶ εὐμενὴς διανυκτερεύσει τοῖς ἡδίστοις ἐκείνοις
*gracious and kindly will-spend-the-night in-the sweetest those*
ἀπολαύσμασιν. ἀρτίως μὲν οἷον ἐφθέγγετο, οἷον ἔβλεπεν,
*enjoyments just-now indeed how she-spoke how she-looked*
ὅσαι ταῖς ὁμιλίαις αὐτῆς σειρῆνες ἐνίδρυντο, ὡς δὲ ἡδύ
*how-many in-the converse her sirens were-seated how and sweet*
τι καὶ ἀκήρατον ἀπὸ τῶν φιλημάτων νέκταρ ἔσταζεν· ἐπ'
*some and pure from the kisses nectar dripped on*
ἄκροις μοι δοκεῖ τοῖς χείλεσιν αὐτῆς ἐκάθισεν ἡ πειθώ.
*edge to-me it-seems the lips her sat the persuasion*
ἅπαντα ἐκείνη γε τὸν κεστὸν ὑπεζώσατο, ὁμοῦ
*all-things she at-least the girdle girded-on together-with*
ταῖς Χάρισι τὴν Ἀφροδίτην δεξιωσαμένη. ἔρρει τὰ παρὰ
*the Graces — Aphrodite having-welcomed perishes the at*

τὰς προπόσεις μινυρίσματα, καὶ ἡ τοῖς ἐλεφαντίνοις
*the toasts warblings and the with-the ivory*
δακτύλοις κρουομένη λύρα ἔρρει. κεῖται δὲ ἡ πάσαις
*fingers struck lyre perishes lies and the-one with-all*
μέλουσα χάρισι κωφὴ λίθος καὶ σποδιά. καὶ Μεγάρα
*cared-for graces a-dumb stone and ash and Megara*
μὲν ἡ ἱππόπορνος ζῇ, οὕτω Θεαγένην συλήσασα ἀνηλεῶς
*indeed the horse-harlot lives so Theagenes having-robbed pitilessly*
ὡς ἐκ πάνυ λαμπρᾶς οὐσίας τὸν ἄθλιον χλαμύδιον
*that from very splendid fortune the wretch a-little-cloak*
ἁρπάσαντα καὶ πέλτην οἴχεσθαι στρατευσόμενον· Βακχὶς
*having-snatched and a-shield to-go-off to-be-going-to-serve Bacchis*
δὲ ἡ τὸν ἐραστὴν φιλοῦσα ἀπέθανε. ῥᾴων γέγονα
*but the-one the lover loving died easier I-have-become*
πρὸς σὲ ἀποδυράμενος, Εὐθύκλεις φίλτατε. ἡδὺ γάρ μοί
*to you having-lamented Euthycles dearest sweet for to-me*
τι δοκεῖ περὶ ἐκείνης καὶ λαλεῖν καὶ γράφειν· οὐδὲν
*something seems about her both to-talk and to-write nothing*
γὰρ ἢ τὸ μεμνῆσθαι καταλέλειπται. ἔρρωσο.
*for but the to-remember is-left farewell*

39

## Μεγάρα Βακχίδι

*Megara to-Bacchis*

Σοὶ μόνῃ ἐραστὴς γέγονεν, ὃν φιλεῖς οὕτως ὥστε μηδ'
*to-you alone a-lover has-become whom you-love so that not-even*
ἀκαριαίως αὐτοῦ διαζευχθῆναι δύνασθαι. τῆς ἀηδίας,
*for-a-moment from-him to-be-parted to-be-able of-the unpleasantness*
δέσποινα Ἀφροδίτη. κληθεῖσα ὑπὸ Γλυκέρας ἐπὶ θυσίαν
*lady Aphrodite having-been-invited by Glycera to a-sacrifice*

τοσοῦτον χρόνον (ἀπὸ τῶν Διονυσίων γὰρ ἡμῖν ἐπήγγειλεν)
*so-long time from the Dionysia for to-us she-announced-(it)*
οὐχ ἥκεις, εἰ μὴ δι᾽ ἐκείνην, οὐδὲ τὰς φίλας ἰδεῖν
*not you-come if not because-of her not-even the friends to-see*
γυναῖκας ἀνασχομένη. σώφρων γέγονας σὺ καὶ φιλεῖς τὸν
*women having-endured prudent have-become you and love the*
ἐραστήν, μακαρία τῆς εὐφημίας· ἡμεῖς δὲ πόρναι καὶ
*lover blessed for-the good-repute we and whores and*
ἀκόλαστοι. ὑπῆρξε καὶ Φίλωνι συκίνη βακτηρία· ὀργίζομαι
*licentious there-was also for-Philo a-fig-wood staff I-am-angry*
γὰρ νὴ τὴν μεγάλην θεόν. πᾶσαι παρῆμεν, Θεττάλη,
*for by the great goddess all were-present Thessale*
Μοσχάριον, Θαΐς, Ἀνθράκιον, Πετάλη, Θρυαλλίς, Μυρρίνη,
*Moscharion Thais Anthracion Petale Thryallis Myrrhine*
Χρυσίον, Εὐξίππη· ὅπου καὶ Φιλουμένη, καίτοι γεγαμημένη
*Chrysion Euxippe where even Philumene although married*
προσφάτως καὶ ζηλοτυπουμένη, τὸ καλὸν ἀποκοιμήσασα
*recently and watched-jealously the nicely having-put-to-sleep*
τὸν ἄνδρα ὀψὲ μὲν ὅμως δὲ παρῆν. σὺ δ᾽ ἡμῖν μόνη
*the husband late indeed nevertheless but was-there you but to-us alone*
τὸν Ἄδωνιν περιέψυχες, μή που καταλειφθέντα αὐτὸν
*— Adonis were-cuddling lest perhaps left him*
ὑπὸ σοῦ τῆς Ἀφροδίτης ἡ Περσεφόνη παραλάβῃ. οἷον
*by you — Aphrodite — Persephone take what-a*
ἡμῶν ἐγένετο τὸ συμπόσιον (τί γὰρ οὐχ ἅψομαί σου
*our was the drinking-party why for not shall-I-touch your*
τῆς καρδίας) ὅσων χαρίτων πλῆρες. ᾠδαὶ σκώμματα
*the heart of-how-many graces full songs jests*
πότος εἰς ἀλεκτρυόνων ᾠδάς μύρα στέφανοι τραγήματα.
*drinking till of-cocks crowings perfumes garlands sweetmeats*
ὑπόσκιός τισι δάφναις ἦν ἡ κατάκλισις· ἓν μόνον ἡμῖν
*shaded by-some laurels was the reclining one only for-us*

ἔλιπε, σύ, τὰ δ' ἄλλα οὔ. πολλάκις ἐκραιπαλήσαμεν,
*was-lacking you the and other-things no often we-have-caroused*
οὕτω δὲ ἡδέως ὀλιγάκις. τὸ δ' οὖν πλείστην ἡμῖν
*so but pleasantly seldom the-thing but anyway most for-us*
παρασκευάσαν τέρψιν, δεινή τις φιλονεικία κατέσχε
*having-provided delight terrible some rivalry seized*
Θρυαλλίδα καὶ Μυρρίνην ὑπὲρ τῆς πυγῆς ποτέρα κρείττω
*Thryallis and Myrrhine about the buttocks which better*
καὶ ἁπαλωτέραν ἐπιδείξει. καὶ πρώτη Μυρρίνη τὸ ζώνιον
*and softer will-display and first Myrrhine the girdle*
λύσασα, βόμβυξ δ' ἦν τὸ χιτώνιον, δι' αὐτοῦ τρέμουσαν
*having-loosed silk and was the shift through it quivering*
οἷον πιμελὴν ἢ πηκτὸν γάλα τὴν ὀσφῦν ἀνεσάλευσεν,
*like fat or curdled milk the loins she-swayed*
ὑποβλέπουσα εἰς τοὐπίσω πρὸς τὰ κινήματα τῆς πυγῆς·
*glancing to the-back at the movements of-the buttocks*
ἠρέμα δ' οἷον ἐνεργοῦσά τι ἐρωτικὸν ὑπεστέναξεν,
*gently and as-if doing something amorous she-sighed*
ὥστε ἐμὲ νὴ τὴν Ἀφροδίτην καταπλαγῆναι. οὐ μὴν ἀπεῖπέ
*so-that me by — Aphrodite to-be-astonished not however gave-up*
γε ἡ Θρυαλλίς, ἀλλὰ τῇ ἀκολασίᾳ παρευδοκίμησεν
*at-least — Thryallis but in-the licentiousness surpassed*
αὐτήν· "οὐ γὰρ διὰ παραπετασμάτων ἐγώ" φησίν
*her not for through veils I she-says*
"ἀγωνιοῦμαι, οὐδὲ ἀκκιζομένη, ἀλλ' οἷον ἐν γυμνικῷ· καὶ
*will-contend nor being-coy but as in athletics and*
γὰρ οὐ φιλεῖ προφάσεις ἀγών." ἀπεδύσατο τὸ χιτώνιον καὶ
*for not loves excuses a-contest she-stripped-off the shift and*
μικρὸν ὑποσιμώσασα τὴν ὀσφῦν "ἰδού, σκόπει τὸ χρῶμα"
*a-little having-arched the loins look see the color*
φησίν "ὡς ἀκριβές, Μυρρίνη, ὡς ἀκήρατον, ὡς καθαρόν,
*she-says how flawless Myrrhine how pure how clean*

τὰ παραπόρφυρα τῶν ἰσχίων ταυτί, τὴν ἐπὶ τοὺς μηροὺς
*the purple-edged of-the hips these the toward the thighs*
ἔγκλισιν, τὸ μήτε ὑπέρογκον αὐτῶν μήτε ἄσαρκον, τοὺς
*inclination the neither too-bulky of-them nor fleshless the*
γελασίνους ἐπ᾽ ἄκρων. ἀλλ᾽ οὐ τρέμει νὴ Δία", φησὶν
*dimples at the-tips but not it-quivers by Zeus she-says*
ἅμ᾽ ὑπομειδιῶσα "ὥσπερ ἡ Μυρρίνης".
*at-the-same-time smiling like the-one of-Myrrhine*
καὶ τοσοῦτον παλμὸν ἐξειργάσατο τῆς πυγῆς, καὶ
*and such a-throbbing she-worked of-the buttocks and*
ἅπασαν αὐτὴν ὑπὲρ τὴν ὀσφῦν τῇδε καὶ τῇδε ὥσπερ
*all it above the loins this-way and that-way as-if*
ῥέουσαν περιεδίνησεν, ὥστε ἀνακροτῆσαι πάσας καὶ νίκην
*flowing she-whirled so-that to-applaud all and victory*
ἀποφήνασθαι τῆς Θρυαλλίδος. ἐγένοντο δὲ καὶ περὶ
*to-declare — of-Thryallis there-were and also about*
ἄλλων συγκρίσεις καὶ περὶ μασταρίων ἀγῶνες ***
*other-things comparisons and about little-breasts contests (lacuna)*
τῇ μὲν γὰρ Φιλουμένης γαστρὶ ἀντεξετασθῆναι οὐδ᾽
*to-the indeed for of-Philumene belly to-be-matched not-even*
ἠτισοῦν ἐθάρσησεν· ἄτοκος γὰρ ἦν καὶ σφριγῶσα.
*any-woman dared childless for she-was and firm*
καταπαννυχίσασαι δ᾽ οὖν καὶ τοὺς ἐραστὰς κακῶς
*having-spent-the-night and then also the lovers badly*
εἰποῦσαι καὶ ἄλλων ἐπιτυχεῖν εὐξάμεναι (ἀεὶ γὰρ ἡδίων
*having-spoken-of and others to-get having-prayed always for sweeter*
ἡ πρόσφατος ἀφροδίτη) ᾠχόμεθα ἔξοινοι, καὶ πολλὰ κατὰ
*the fresh love we-went-off drunk and much along*
τὴν ὁδὸν κραιπαλήσασαι ἐπεκωμάσαμεν Δεξιμάχῳ κατὰ τὸν
*the road having-caroused we-reveled-to Deximachus at the*
χρυσοῦν στενωπόν, ὡς ἐπὶ τὴν ἄγνον κατῆμεν, πλησίον
*golden alley as toward the chaste-tree we-went-down near*

τῆς Μενέφρονος οἰκίας. ἐρᾷ γὰρ αὐτοῦ Θαΐς κακῶς, καὶ νὴ
*the of-Menephron house loves for him Thais badly and by*
Δία εἰκότως· ἔναγχος γὰρ πλούσιον κεκληρονόμηκε πατέρα
*Zeus reasonably lately for a-rich has-inherited father*
τὸ μειράκιον. νῦν μὲν οὖν συγγνώμην ἔχομέν σοι τῆς
*the youth now indeed then pardon we-have to-you of-the*
ὑπεροψίας, τοῖς Ἀδωνίοις δὲ ἐν Κολλυτῷ ἑστιώμεθα παρὰ
*haughtiness at-the Adonia and in Collytus we-feast with*
τῷ Θεττάλης ἐραστῇ· τὸν γὰρ τῆς Ἀφροδίτης ἐρώμενον
*the of-Thessale lover the for — of-Aphrodite beloved*
ἡ Θεττάλη στέλλει. ὅπως δ' ἥξεις φέρουσα κηπίον
*— Thessale is-dressing see-that and you-will-come bringing a-little-garden*
καὶ κοράλλιον καὶ τὸν σὸν Ἄδωνιν ὃν νῦν περιψύχεις·
*and a-little-doll and the your Adonis whom now you-cuddle*
μετὰ γὰρ τῶν ἐραστῶν κραιπαλήσομεν. ἔρρωσο.
*with for the lovers we-will-carouse farewell*

40

## Φιλουμένη Κρίτωνι

*Philumene to-Crito*

Τί πολλὰ γράφων ἀνιᾷς σαυτόν; πεντήκοντά μοι
*why many-things writing do-you-trouble yourself fifty for-me*
χρυσῶν δεῖ καὶ γραμμάτων οὐ δεῖ. εἰ μὲν οὖν
*gold-pieces is-needed and of-letters not is-needed if indeed then*
φιλεῖς, δός· εἰ δὲ φιλαργυρεῖς, μὴ ἐνόχλει. ἔρρωσο.
*you-love give if but you-love-money not bother farewell*

*Lamia writes to King Demetrius that, seen abroad among his bodyguards and armies, he makes her tremble, but in her arms seems no Besieger at all; she bids him dine with her at the Aphrodisia, vows she will not play the artist with him, and promises a dinner that will be talked of across Athens and all Greece, and slandered even by the Spartans. Leontion complains to Lamia of the jealous, aged Epicurus, who reviles and suspects her and wants to drive Timarchus, her young lover, from the Garden, though the youth joined it for her sake; she asks to stay with Lamia a few days so that Epicurus will learn what he has lost, and vows not to give up Timarchus.*

1

## Λαμία Δημητρίῳ

*Lamia to-Demetrius*

Σὺ ταύτης τῆς παρρησίας αἴτιος, ὃς τοσοῦτος ὢν
*you of-this the frankness cause who so-great being*
βασιλεὺς εἶτα ἐπέτρεψας καὶ ἑταίρᾳ γράφειν σοι, οὐχ
*king then permitted also a-courtesan to-write to-you not*
ἡγησάμενος δεινὸν ἐντυγχάνειν τοῖς ἐμοῖς γράμμασιν ὅλῃ
*having-thought terrible to-meet-with the my letters whole*
μοι ἐντυγχάνων. ἐγώ, δέσποτα Δημήτριε, ὅταν μὲν ἔξω
*me meeting-with I lord Demetrius whenever indeed outside*
σε θεάσωμαι καὶ ἀκούσω μετὰ τῶν δορυφόρων καὶ τῶν
*you I-behold and hear with the bodyguards and the*
στρατοπέδων καὶ τῶν πρέσβεων καὶ τῶν διαδημάτων, νὴ
*armies and the envoys and the diadems by*
τὴν Ἀφροδίτην, πέφρικα καὶ δέδοικα καὶ ταράττομαι καὶ
*— Aphrodite I-shudder and fear and am-troubled and*
ἀποστρέφομαι ὡς τὸν ἥλιον, μὴ ἐπικαῶ τὰ ὄμματα· καὶ
*turn-away as-from the sun lest I-burn the eyes and*

τότε μοι ὄντως ὁ πολιορκητὴς εἶναι δοκεῖς Δημήτριος·
*then to-me truly the besieger to-be you-seem Demetrius*
οἷον δὲ καὶ βλέπεις τότε, ὡς πικρὸν καὶ πολεμικόν·
*how and also you-look then how harsh and warlike*
καὶ ἀπιστῶ ἐμαυτῇ καὶ λέγω "Λάμια, σὺ μετὰ τούτου
*and I-distrust myself and say Lamia you with this-man*
καθεύδεις; σὺ διὰ νυκτὸς ὅλης αὐτὸν καταυλεῖς; σοὶ νῦν
*sleep you through night whole him play-the-flute-for to-you now*
οὗτος ἐπέσταλκε; σοὶ Γνάθαιναν τὴν ἑταίραν συγκρίνει;"
*this-man has-written to-you Gnathaena the courtesan he-compares*
καὶ ἠλογημένη σιωπῶ καὶ εὔχομαί σε θεάσασθαι παρ'
*and slighted I-am-silent and pray you to-behold with*
ἑαυτῇ. καὶ ὅταν ἔλθῃς, προσκυνῶ σε· καὶ ὅταν περιπλακείς
*myself and when you-come I-do-obeisance-to you and when having-embraced*
με φιλῇς, πάλιν πρὸς ἐμαυτὴν τἀναντία λέγω "οὗτός ἐστιν
*me you-kiss again to myself the-opposite I-say this-man is*
ὁ πολιορκητής, οὗτός ἐστιν ὁ ἐν τοῖς στρατοπέδοις,
*the besieger this-man is the-one in the armies*
τοῦτον φοβεῖται ἡ Μακεδονία, τοῦτον ἡ Ἑλλάς, τοῦτον
*this-man fears — Macedonia this-man — Greece this-man*
ἡ Θρᾴκη; νὴ τὴν Ἀφροδίτην, σήμερον αὐτὸν τοῖς αὐλοῖς
*— Thrace by — Aphrodite today him with-the pipes*
ἐκπολιορκήσω καὶ ὄψομαι τί με διαθήσει." *** μᾶλλον
*I-will-take-by-siege and I-will-see how me he-will-dispose (lacuna) rather*
εἰς τρίτην, παρ' ἐμοὶ γὰρ δειπνήσεις, δέομαι. τὰ Ἀφροδίσια
*for the-third-day with me for you-will-dine I-ask the Aphrodisia*
ποιῶ ταῦτα κατ' ἔτος, καὶ ἀγῶνα ἔχω εἰ τὰ πρότερα,
*I-hold these by year and a-contest I-have if the former-ones*
τοῖς ὑστέροις νικῶ. ὑποδέξομαι δή σε ἐπαφροδίτως καὶ
*with-the later I-surpass I-will-receive indeed you charmingly and*
ὡς ἔνι μάλιστα ἐπιφανῶς· καὶ γάρ μοι περιουσιάσαι
*as is-possible most splendidly and for to-me to-be-abundantly-provided*

γεγένηται ὑπὸ σοῦ, μηδὲν ἀνάξιον τῶν σῶν ἀγαθῶν ἐξ
*has-come-about by you nothing unworthy of-the your good-things from*
ἐκείνης τῆς ἱερᾶς νυκτὸς ἔτι πεποιηκυίᾳ, καίτοι σοῦ γε
*that the holy night still having-done and-yet you at-least*
ἐπιτρέποντος ὅπως ἂν βούλωμαι χρῆσθαι τῷ ἐμῷ σώματι·
*permitting as — I-wish to-use the my body*
ἀλλὰ κέχρημαι καλῶς καὶ ἀμίκτως πρὸς ἑτέρους. οὐ
*but I-have-used-(it) well and without-intercourse with others not*
ποιήσω τὸ ἑταιρικὸν οὐδὲ ψεύσομαι, δέσποτα, ὡς ἄλλαι
*I-will-do the courtesan's-trick nor will-I-lie lord as others*
ποιοῦσιν. ἐμοὶ γὰρ ἐξ ἐκείνου, μὰ τὴν Ἄρτεμιν, οὐδὲ
*do to-me for from that-time by — Artemis not-even*
προσέβλεψαν ἔτι πολλοὶ οὐδὲ ἐπείρασαν αἰδούμενοί
*looked-at any-more many nor tried-(me) respecting*
σου τὰς πολιορκίας. ὀξύς ἐστιν Ἔρως, ὦ βασιλεῦ, καὶ
*your the sieges keen is Love O king both*
ἐλθεῖν καὶ ἀναπτῆναι. ἐλπίσας πτεροῦται, καὶ ἀπελπίσας
*to-come and to-fly-up having-hoped he-grows-wings and having-despaired*
ταχὺ πτερορρυεῖν εἴωθεν ἀπογνωσθείς. διὸ καὶ μέγα
*quickly to-shed-his-feathers is-wont having-been-given-up wherefore also great*
τῶν ἑταιρουσῶν ἐστι σόφισμα, ἀεὶ τὸ παρὸν τῆς
*of-the courtesans is a-trick always the present of-the*
ἀπολαύσεως ὑπερτιθεμένας ταῖς ἐλπίσι διακρατεῖν τοὺς
*enjoyment putting-off with-the hopes to-hold the*
ἐραστάς. λοιπὸν ἡμᾶς δεῖ τὰ μὲν ποιεῖν, τὰ δὲ
*lovers remaining us it-is-needful the-ones indeed to-do the-others and*
μαλακίζεσθαι, τὰ δὲ δειπνοποιεῖν, τὰ δὲ κοσμεῖν
*to-feign-illness the-others and to-prepare-dinner the-others and to-adorn*
σοι τὸν οἶκον, τὰς ὁπωσοῦν ἄλλως ταχὺ μαραινομένας
*for-you the house the in-whatever-way otherwise quickly fading*
μεσολαβούσας χάριτας, ἵνα μᾶλλον ἐξάπτωνται τοῖς
*interrupting favors so-that more they-may-be-kindled by-the*

διαστήμασιν εὐαλέστεραι αὐτῶν αἱ ψυχαί, φοβουμένων μὴ
*intervals more-easily-caught their the souls fearing lest*
ἄλλο πάλιν γένηται τῆς ἐν τῷ παρόντι τύχης κώλυμα.
*something again happen of-the in the present fortune hindrance*
ταῦτα δὲ πρὸς μὲν ἑτέρους τάχα ἂν ἐδυνάμην, βασιλεῦ,
*these-things and toward indeed others perhaps — I-could king*
πλάττεσθαι καὶ τεχνιτεύειν· πρὸς δὲ σέ, ὃς οὕτως ἤδη
*to-pretend and to-play-the-artist toward but you who so already*
ἔχεις ἐπ᾽ ἐμοὶ ὡς ἐπιδεικνύναι με καὶ ἀγάλλεσθαι πρὸς
*are toward me as to-show-off me and to-pride-yourself toward*
τὰς ἄλλας ἑταίρας ὅτι πασῶν ἐγὼ πρωτεύω, μὰ τὰς φίλας
*the other courtesans that of-all I am-first by the dear*
Μούσας, οὐκ ἂν ὑπομείναιμι πλάττεσθαι· οὐχ οὕτως εἰμὶ
*Muses not — I-could-endure to-pretend not so I-am*
λιθίνη ὥστε ἀφεῖσα πάντα καὶ τὴν ψυχὴν ἐμαυτῆς εἰς τὴν
*of-stone that having-let-go everything and the soul my-own for the*
σὴν ἀρέσκειαν ὀλίγον ἡγήσομαι δαπανῆσαι. εὖ οἶδα γὰρ
*your pleasing little I-shall-think to-spend well I-know for*
ὅτι οὐ μόνον ἐν τῇ Θηριππιδίου οἰκίᾳ, ἐν ᾗ μέλλω σοι
*that not only in the of-Therippidion house in which I-am-about for-you*
τὸ τῶν Ἀφροδισίων εὐτρεπίζειν δεῖπνον, ἔσται διαβόητος
*the of-the Aphrodisia to-prepare dinner will-be noised-abroad*
ἡ παρασκευή, ἀλλὰ καὶ ἐν ὅλῃ τῇ Ἀθηναίων πόλει,
*the preparation but also in whole the of-Athenians city*
νὴ τὴν Ἄρτεμιν, καὶ ἐν τῇ Ἑλλάδι πάσῃ. καὶ μάλιστα
*by — Artemis and in — Greece all and most*
οἱ μισητοὶ Λακεδαιμόνιοι, ἵνα δοκῶσιν ἄνδρες εἶναι οἱ
*the hateful Lacedaemonians so-that they-may-seem men to-be the*
ἐν Ἐφέσῳ ἀλώπεκες, οὐ παύσονται ἐν τοῖς Ταϋγέτοις
*in Ephesus foxes not will-stop in the Taygetan*
ὄρεσι καὶ ταῖς ἐρημίαις ἑαυτῶν διαβάλλοντες ἡμῶν τὰ
*mountains and the solitudes their slandering our the*

δεῖπνα καὶ καταλυκουργίζοντες τῆς σῆς ἀνθρωποπαθείας.
*dinners and Lycurgus-ing-against the your humanity*
ἀλλ᾽ αὐτοὶ μὲν χαιρόντων, δέσποτα, σὺ δὲ ἐμοὶ μέμνησο
*but they indeed let-them-rejoice lord you and for-me remember*
φυλάξαι τὴν ἡμέραν τοῦ δείπνου καὶ τὴν ὥραν ἣν ἂν
*to-keep the day of-the dinner and the hour which —*
ἕλῃ· ἀρίστη γὰρ ἣν βούλει. ἔρρωσο.
*you-choose best for-(is-the-one) which you-wish farewell*

2

## Λεόντιον Λαμίᾳ

*Leontion to-Lamia*

Οὐδὲν δυσαρεστότερον, ὡς ἔοικεν, ἐστὶν ἄρτι πάλιν
*nothing more-disagreeable as it-seems is just-now again*
μειρακευομένου πρεσβύτου. οἷά με Ἐπίκουρος οὗτος
*playing-the-youth than-an-old-man what-things me Epicurus this*
διοικεῖ, πάντα λοιδορῶν, πάντα ὑποπτεύων, ἐπιστολὰς
*manages all-things reviling all-things suspecting letters*
ἀδιαλείπτους μοι γράφων, ἐκδιώκων ἐκ τοῦ κήπου. μὰ
*unceasing to-me writing chasing-out from the garden by*
τὴν Ἀφροδίτην, εἰ Ἄδωνις ἦν, ἤδη ἐγγὺς ὀγδοήκοντα
*— Aphrodite if Adonis he-were already near eighty*
γεγονὼς ἔτη, οὐκ ἂν αὐτοῦ ἠνεσχόμην φθειριῶντος
*having-become years not — him I-would-have-endured lousy*
καὶ φιλονοσοῦντος καὶ καταπεπιλημένου εὖ μάλα πόκοις
*and sickly and wrapped-up well very with-fleeces*
ἀντὶ πίλων. μέχρι τίνος ὑπομενεῖ τις τὸν φιλόσοφον
*instead-of felt-caps till when will-endure anyone the philosopher*
τοῦτον; ἐχέτω τὰς περὶ φύσεως αὐτοῦ κυρίας δόξας
*this let-him-keep the about nature his sovereign doctrines*

καὶ τοὺς διεστραμμένους κανόνας, ἐμὲ δὲ ἀφέτω τὴν
*and the distorted canons me but let-him-let-go the*
φυσικῶς κυρίαν ἐμαυτῆς αὐτομάχητον καὶ ἀνύβριστον. ὄντως
*naturally sovereign over-myself self-fighting and unoutraged truly*
ἐπιπολιορκητὴν ἔχω τοιοῦτον, οὐχ οἷον σὺ Λάμια Δημήτριον.
*an-overbesieger I-have such not like you Lamia Demetrius*
μὴ γὰρ ἔστι σωφρονῆσαι διὰ τὸν ἄνθρωπον τοῦτον;
*not for is-it-possible to-be-prudent because-of the man this*
καὶ σωκρατίζειν καὶ στωμυλεύεσθαι θέλει καὶ εἰρωνεύεσθαι,
*and to-Socratize and to-babble he-wishes and to-dissemble*
καὶ [...] καὶ Ξανθίππην ἐμὲ οἴεται ποιήσειν. καὶ
*and (omitted) and a-Xanthippe me he-thinks to-be-going-to-make and*
πέρας ἀναστᾶσα ὅπῃ ποτὲ γῆν πρὸ γῆς φεύξομαι μᾶλλον
*finally having-got-up wherever ever land before land I-will-flee rather*
ἢ τὰς ἐπιστολὰς αὐτοῦ τὰς ἀδιαπαύστους ἀνέξομαι. ὁ
*than the letters his the unceasing I-will-endure he*
δὲ πάντων δεινότατον ἤδη καὶ ἀφορητότατον τετόλμηκεν,
*and of-all most-terrible already and most-unbearable he-has-dared*
ὑπὲρ οὗ καὶ γνώμην σου βουλομένη λαβεῖν τί μοι
*about which also opinion your wishing to-take what for-me*
ποιητέον ἐπέσταλκά σοι. Τίμαρχον τὸν καλὸν οἶσθα τὸν
*is-to-be-done I-have-written to-you Timarchus the handsome you-know the*
Κηφισιάθεν. οὐκ ἀρνοῦμαι πρὸς τὸν νεανίσκον οἰκείως ἔχειν
*from-Cephisia not I-deny toward the young-man familiarly to-be*
ἐκ πολλοῦ (πρὸς σέ μοι τἀληθῆ λέγειν. εἰκὸς Λάμια) καὶ
*from long-ago to you for-me the-truth to-tell it-is-fitting Lamia and*
τὴν πρώτην ἀφροδίτην ἔμαθον παρ' αὐτοῦ σχεδόν. οὗτος
*the first love I-learned from him nearly this-one*
γάρ με διεπαρθένευσεν ἐκ γειτόνων οἰκοῦσαν. ἐξ ἐκείνου
*for me took-the-maidenhood-of from neighbors living from that*
τοῦ χρόνου πάντα μοι τἀγαθὰ πέμπων οὐ διαλέλοιπεν,
*the time all to-me the-good-things sending not he-has-left-off*

ἐσθῆτα, χρυσία, θεραπαίνας θεράποντας, Ἰνδὰς Ἰνδούς.
*clothing gold maids menservants Indian-women Indian-men*
τἆλλα σιωπῶ. ἀλλὰ τὰ μικρότατα προλαμβάνει τὰς ὥρας,
*the-rest I-pass-over but the smallest-things he-anticipates the seasons*
ἵνα μηδεὶς φθάσῃ με γευσάμενος. τοιοῦτον οὖν ἐραστὴν
*so-that no-one may-forestall me having-tasted such then a-lover*
"ἀπόκλεισον" φησί "καὶ μὴ προσίτω σοι", ποίοις
*shut-out he-says and not let-him-approach you by-what*
δοκεῖς αὐτὸν ἀποκαλῶν ὀνόμασιν; οὔτε ὡς Ἀττικὸς οὔτε
*do-you-think him calling names neither as an-Attic nor*
ὡς φιλόσοφος, *** ἐκ Καππαδοκίας πρώην εἰς τὴν
*as a-philosopher (lacuna) from Cappadocia lately to —*
Ἑλλάδα ἥκων. ἐγὼ δὲ εἰ καὶ ὅλη γέμοι ἡ Ἀθηναίων
*Greece having-come I but if even whole should-be-full the of-Athenians*
πόλις Ἐπικούρων, μὰ τὴν Ἄρτεμιν, οὐ ζυγοστατήσω
*city of-Epicuruses by — Artemis not I-will-weigh*
πάντας αὐτοὺς πρὸς τὸν Τιμάρχου βραχίονα, μᾶλλον δὲ
*all them against the of-Timarchus arm rather but*
οὐδὲ πρὸς τὸν δάκτυλον. τί σὺ λέγεις Λάμια; οὐκ ἀληθῆ
*not-even against the finger what you say Lamia not true*
ταῦτα; οὐ δίκαιά φημι; "καὶ μὴ δή, δέομαί σου πρὸς τῆς
*these-things not just I-say and not indeed I-beg you by —*
Ἀφροδίτης, μή σοι ταῦτα ὑπελθέτω· ἀλλὰ φιλόσοφος,
*Aphrodite not to-you these-things let-it-steal-upon but a-philosopher*
ἀλλὰ ἐπιφανής, ἀλλὰ πολλοῖς φίλοις κεχρημένος."
*but illustrious but with-many friends having*
λαβέτω καὶ ἃ ἔχω, διδασκέτω δ' ἄλλους. ἐμὲ δὲ οὐδὲν
*let-him-take even what I-have let-him-teach but others me and nothing*
θάλπει ἡ δόξα, ἀλλ' ὃν θέλω δὸς Τίμαρχον, Δάματερ.
*warms the fame but whom I-wish give Timarchus Demeter*
ἀλλὰ καὶ δι' ἐμὲ πάντα ἠνάγκασται ὁ νεανίσκος
*but also because-of me everything has-been-compelled the young-man*

καταλιπών, τὸ Λύκειον καὶ τὴν ἑαυτοῦ νεότητα καὶ
*having-left the Lyceum and the his-own youth and*
τοὺς συνεφήβους καὶ τὴν ἑταιρείαν, μετ᾽ αὐτοῦ ζῆν καὶ
*the fellow-ephebes and the comradeship with him to-live and*
κολακεύειν αὐτὸν καὶ καθυμνεῖν τὰς ὑπηνέμους αὐτοῦ
*to-flatter him and to-hymn the windy his*
δόξας. ὁ δ᾽ Ἀτρεὺς οὗτος "ἔξελθε" φησίν "ἐκ τῆς ἐμῆς
*doctrines — and Atreus this go-out he-says from the my*
μοναγρίας καὶ μὴ πρόσιθι Λεοντίῳ." ὡς οὐ δικαιότερον
*private-hunting-ground and not approach Leontion as not more-justly*
ἐκείνου ἐροῦντος "σὺ μὲν οὖν μὴ πρόσιθι τῇ ἐμῇ." καὶ
*that-one to-be-going-to-say you indeed then not approach the mine and*
ὁ μὲν νεανίσκος ὢν ἀνέχεται τὸν ὕστερον ἀντεραστὴν
*the indeed young-man being endures the later rival-lover*
γέροντα, ὁ δὲ τὸν δικαιότερον οὐχ ὑπομένει. τί
*old-man the-other and the more-just not endures what*
ποιήσω, πρὸς τῶν θεῶν ἱκετεύω σε Λάμια. νὴ τὰ μυστήρια,
*shall-I-do by the gods I-beseech you Lamia by the mysteries*
νὴ τὴν τούτων τῶν κακῶν ἀπαλλαγήν, ὡς ἐνθυμηθεῖσα
*by the of-these the evils deliverance how having-thought-of*
τοῦ Τιμάρχου τὸν χωρισμὸν ἄρτι ἀπέψυγμαι καὶ ἵδρωκα
*— of-Timarchus the separation just-now I-have-gone-cold and I-have-sweated*
τὰ ἄκρα καὶ ἡ καρδία μου ἀνέστραπται. δέομαί σου,
*at-the extremities and the heart my has-been-overturned I-beg you*
δέξαι με πρὸς σεαυτὴν ἡμέρας ὀλίγας, καὶ ποιήσω τοῦτον
*receive me to yourself days few and I-will-make this-one*
αἰσθάνεσθαι πηλίκων ἀπήλαυεν ἀγαθῶν ἔχων ἐν τῇ οἰκίᾳ
*to-perceive how-great he-enjoyed goods having in the house*
με. καὶ οὐκέτι φέρει τὸν κόρον, εὖ οἶδα. πρεσβευτὰς εὐθὺς
*me and no-longer bears the satiety well I-know envoys straightway*
πρὸς ἡμᾶς διαπέμψεται Μητρόδωρον καὶ Ἕρμαρχον καὶ
*to us he-will-send Metrodorus and Hermarchus and*

Πολύαινον. ποσάκις οἴει με, Λάμια, πρὸς αὐτὸν ἰδίᾳ
*Polyaenus how-often do-you-think me Lamia to him privately*
παραγενομένην εἰπεῖν "τί ποιεῖς Ἐπίκουρε; οὐκ οἶσθα
*having-come to-have-said what are-you-doing Epicurus not you-know*
ὅτι διακωμῳδεῖ σε Τιμοκράτης ὁ Μητροδώρου ἐπὶ τούτοις
*that ridicules you Timocrates the of-Metrodorus for these-things*
ἐν ταῖς ἐκκλησίαις, ἐν τοῖς θεάτροις, παρὰ τοῖς ἄλλοις
*in the assemblies in the theaters among the other*
σοφισταῖς;" ἀλλὰ τί ἔστιν αὐτῷ ποιῆσαι; ἀναίσχυντός
*sophists but what is-it to-him to-do shameless*
ἐστι τὸ ἐρᾶν. καὶ ἐγὼ ἔσομαι τοίνυν ὅμοια αὐτῷ
*is the to-love and I will-be then like him*
ἀναίσχυντος καὶ οὐκ ἀφήσω τὸν ἐμὸν Τίμαρχον. ἔρρωσο.
*shameless and not I-will-let-go the my Timarchus farewell*

*Menander writes to Glycera that King Ptolemy has invited him, and Philemon too, to Egypt with every promise; he will not go, since Athens, its theater and festivals, and Glycera are worth more than a court and its dangers, and he begs her to hurry back from the Haloa. Glycera answers that she was overjoyed to read the king's letter and boasted of it to her friends, and that if Menander wishes to go she will sail with him; but she begs him first to consult their friends, the sacrifices, Delphi, and a Phrygian seer, and to prepare the plays the king would most enjoy.*

3

## Μένανδρος Γλυκέρᾳ

*Menander to-Glycera*

Ἐγὼ μὰ τὰς Ἐλευσινίας θεάς, μὰ τὰ μυστήρια αὐτῶν, ἅ
*I by the Eleusinian goddesses by the mysteries their which*
σοι καὶ ἐναντίον ἐκείνων ὤμοσα πολλάκις, Γλυκέρα,
*to-you also in-the-presence-of them I-swore often Glycera*
μόνος μόνῃ, ὡς οὐδὲν ἐπαίρων τἀμὰ οὐδὲ βουλόμενός
*alone to-you-alone that nothing exalting my-affairs nor wishing*
σου χωρίζεσθαι ταῦτα καὶ λέγω καὶ γράφω. τί γὰρ
*from-you to-be-parted these-things both I-say and write what for*
ἐμοὶ χωρίς σου γένοιτ' ἂν ἥδιον; τίνι δ' ἐπαρθῆναι
*to-me apart-from you could-be — sweeter by-what and to-be-elated*
μείζονι δυναίμην τῆς σῆς φιλίας; εἰ καὶ τὸ ἔσχατον
*greater could-I-be than-the your love if even the last*
ἡμῶν γῆρας διὰ τοὺς σοὺς τρόπους καὶ τὰ σὰ ἤθη
*our old-age because-of the your ways and the your character*
νεότης ἀεὶ φανεῖταί μοι. καὶ συννεάσαιμεν ἀλλήλοις
*youth always will-appear to-me and may-we-be-young-together with-one-another*
καὶ συγγηράσαιμεν, καὶ νὴ τοὺς θεοὺς συναποθάνοιμεν,
*and grow-old-together and by the gods may-we-die-together*

ἀλλ᾽ αἰσθανόμενοι, Γλυκέρα, ὅτι συναποθνήσκομεν, ἵνα
*but perceiving Glycera that we-are-dying-together so-that*
μηδετέρῳ ἡμῶν ἐς ᾅδου συγκαταβαίη τὶς ζῆλος, εἴ τινων
*to-neither of-us to Hades may-go-down-with any jealousy if any*
ἄλλων ὁ σωθεὶς πειράσεται ἀγαθῶν. μὴ δὴ γένοιτό
*other the saved-one will-experience goods not indeed may-it-befall*
μοι πειραθῆναι σοῦ μηκέτ᾽ οὔσης· τί γὰρ ἂν ἔτι
*me to-experience you no-longer being what for — any-longer*
καταλίποιτο ἀγαθόν; ἃ δὲ νῦν ἤπειξέ με ἐν Πειραιεῖ
*could-be-left good what and now has-hurried me in Piraeus*
μαλακιζόμενον (οἶσθα γάρ μου τὰς συνήθεις ἀσθενείας,
*being-ill you-know for my the usual weaknesses*
ἃς οἱ μὴ φιλοῦντές με τρυφὰς καὶ σαλακωνείας καλεῖν
*which those not loving me luxuries and affectations to-call*
εἰώθασιν) ἐπιστεῖλαί σοι ἐν ἄστει μενούσῃ διὰ τὰ ἁλῶα
*are-wont to-send to-you in town staying because-of the Haloa*
τῆς θεοῦ, ταῦτ᾽ ἐστίν. ἐδεξάμην ἀπὸ Πτολεμαίου τοῦ
*of-the goddess these-things are I-received from Ptolemy the*
βασιλέως Αἰγύπτου γράμματα, ἐν οἷς δεῖταί μου πάσας
*king of-Egypt letters in which he-asks me with-all*
δεήσεις καὶ προτρέπεται βασιλικῶς ὑπισχνούμενος τὸ δὴ
*entreaties and urges royally promising the indeed*
λεγόμενον τοῦτο τὰ τῆς γῆς ἀγαθὰ καὶ ἐμὲ καὶ Φιλήμονα·
*said this the of-the earth goods both me and Philemon*
καὶ γὰρ ἐκείνῳ γράμματα κεκομίσθαι φασί· καὶ αὐτὸς δὲ
*also for to-that-one letters to-have-been-brought they-say and the-very too*
ὁ Φιλήμων ἐπέστειλέ μοι τὰ ἴδια δηλῶν ἐλαφρότερα καὶ
*— Philemon wrote to-me the his-own showing lighter and*
ὡς οὐ Μενάνδρῳ γεγραμμένα ἧττον λαμπρά. ἀλλ᾽ ὄψεται
*as not to-Menander written less splendid but he-will-see*
καὶ βουλεύσεται τὰ ἴδια οὗτος. ἐγὼ δὲ αὐτοῦ οὐ περιμενῶ
*and will-deliberate the his-own he I but his not will-await*

βουλάς. ἀλλὰ σύ μοι, Γλυκέρα, καὶ γνώμη καὶ Ἀρεοπαγῖτις
*counsels but you to-me Glycera both judgment and Areopagite*
βουλὴ καὶ Ἡλιαία, ἅπαντα νὴ τὴν Ἀθηνᾶν ἀεὶ γέγονας
*council and Heliaea all-things by — Athena always have-been*
καὶ νῦν ἔσῃ. τὰς μὲν οὖν ἐπιστολὰς τοῦ βασιλέως
*and now will-be the indeed therefore letters of-the king*
σοι διεπεμψάμην, ἵνα μὴ κόπτω σε δὶς καὶ τοῖς
*to-you I-have-sent so-that not I-weary you twice both with-the*
ἐμοῖς καὶ τοῖς ἐκείνου γράμμασιν ἐντυγχάνουσαν· ἃ δὲ
*my and with-the his letters reading what but*
ἐπιστέλλειν αὐτῷ ἔγνωκα, βούλομαί σε εἰδέναι. πλεῖν μὲν
*to-write to-him I-have-decided I-wish you to-know to-sail indeed*
καὶ εἰς Αἴγυπτον ἀπιέναι μακρὰν οὕτω καὶ ἀπῳκισμένην
*and to Egypt to-go-away far so and removed*
βασιλείαν οὖσαν, μὰ τοὺς δώδεκα θεούς, οὐδὲ ἐνθυμοῦμαι.
*a-kingdom being by the twelve gods not-even do-I-consider*
ἀλλ᾽ οὐδὲ εἰ ἐν Αἰγίνῃ ταύτῃ γε τῇ πλησίον ἔκειτο
*but not-even if in Aegina this at-least the near lay*
Αἴγυπτος, οὐδ᾽ οὕτως ἐν νῷ ἂν ἔσχον ἀφεὶς τὴν
*Egypt not-even so in mind — would-I-have-had having-let-go the*
ἐμὴν βασιλείαν τῆς σῆς φιλίας μόνος ἐν τοσούτῳ ὄχλῳ
*my kingdom of-the your love alone in so-great a-crowd*
Αἰγυπτίων χωρὶς Γλυκέρας ἐρημίαν πολυάνθρωπον ὁρᾶν.
*of-Egyptians without Glycera a-wilderness populous to-see*
ἥδιον γὰρ καὶ ἀκινδυνότερον τὰς σὰς θεραπεύω
*more-sweetly for and more-safely the your I-court*
μᾶλλον ἀγκάλας, ἢ τὰς αὐλὰς ἁπάντων τῶν σατραπῶν
*rather embraces than the courts of-all the satraps*
καὶ βασιλέων. ἐπικίνδυνον μὲν οὖν τὸ ἀνελεύθερον,
*and kings dangerous indeed then the servile*
εὐκαταφρόνητον δὲ τὸ κολακεῦον, ἄπιστον δὲ τὸ
*contemptible and the flattering untrustworthy and the*

εὐτυχούμενον. ἐγὼ δὲ καὶ τὰς θηρικλείους καὶ τὰ καρχήσια
*prosperous I but both the Thericlean-cups and the goblets*
καὶ τὰς χρυσίδας καὶ πάντα τὰ ἐν ταῖς αὐλαῖς ἐπίφθονα,
*and the gold-vessels and all the in the courts envied*
παρὰ τούτοις ἀγαθὰ καλούμενα, τῶν κατ' ἔτος χοῶν καὶ
*among these goods called for-the by year Pitchers and*
τῶν ἐν τοῖς θεάτροις ληναίων καὶ τῆς χθιζῆς ὁμολογίας
*the in the theaters Lenaea and the yesterday's agreement*
καὶ τῶν τοῦ Λυκείου γυμνασίων καὶ τῆς ἱερᾶς Ἀκαδημείας
*and the of-the Lyceum gymnasia and the holy Academy*
οὐκ ἀλλάττομαι, μὰ τὸν Διόνυσον καὶ τοὺς βακχικοὺς
*not I-exchange by — Dionysus and the Bacchic*
αὐτοῦ κισσούς, οἷς στεφανωθῆναι μᾶλλον ἢ τοῖς
*his ivies with-which to-be-crowned rather than with-the*
Πτολεμαίου βούλομαι διαδήμασιν, ὁρώσης καὶ καθημένης
*of-Ptolemy I-wish diadems watching and sitting*
ἐν τῷ θεάτρῳ Γλυκέρας. ποῦ γὰρ ἐν Αἰγύπτῳ ὄψομαι
*in the theater Glycera where for in Egypt shall-I-see*
ἐκκλησίαν καὶ ψῆφον ἀναδιδομένην; ποῦ δὲ δημοκρατικὸν
*an-assembly and vote being-given where and democratic*
ὄχλον οὕτως ἐλευθεριάζοντα; ποῦ δὲ θεσμοθέτας ἐν ταῖς
*crowd so acting-freely where and lawgivers in the*
ἱεραῖς κόμαις κεκισσωμένους; ποῖον περισχοίνισμα; ποίαν
*holy hair ivy-wreathed what roped-enclosure what*
αἵρεσιν, ποίους χύτρους; Κεραμεικόν, ἀγοράν, δικαστήρια,
*election what Pots Ceramicus market law-courts*
τὴν καλὴν ἀκρόπολιν, τὰς σεμνὰς θεάς, τὰ μυστήρια,
*the fair acropolis the august goddesses the mysteries*
τὴν γειτνιῶσαν Σαλαμῖνα, τὰ στενά, τὴν Ψυττάλειαν,
*the neighboring Salamis the narrows the Psyttaleia*
τὸν Μαραθῶνα, ὅλην ἐν ταῖς Ἀθήναις τὴν Ἑλλάδα, ὅλην
*— Marathon whole in — Athens — Greece whole*

τὴν Ἰωνίαν, τὰς Κυκλάδας πάσας; ἀφεὶς ταῦτα καὶ
*— Ionia the Cyclades all having-let-go these-things and*
Γλυκέραν μετ᾽ αὐτῶν εἰς Αἴγυπτον διέλθω χρυσὸν
*Glycera with them to Egypt am-I-to-go-through gold*
λαβεῖν καὶ ἄργυρον καὶ πλοῦτον; ᾧ μετὰ τίνος χρήσομαι;
*to-get and silver and wealth which with whom shall-I-use*
μετὰ Γλυκέρας τοσοῦτον διατεθαλασσευμένης; οὐ πενία δέ
*with Glycera so-far sea-separated not poverty but*
μοι ἔσται χωρὶς αὐτῆς ταῦτα; ἐὰν δὲ ἀκούσω τοὺς
*to-me will-be apart-from her these-things if and I-hear the*
σεμνοὺς ἔρωτας εἰς ἄλλον αὐτὴν μετατεθεικέναι, οὐ σποδός
*august loves to another her to-have-transferred not ash*
μοι πάντες οἱ θησαυροὶ γενήσονται; καὶ ἀποθνήσκων τὰς
*to-me all the treasures will-become and dying the*
μὲν λύπας ἐμαυτῷ συναποίσω, τὰ δὲ χρήματα τοῖς
*indeed griefs with-myself I-will-carry-off the and money for-those*
ἰσχύουσιν ἀδικεῖν ἐν μέσῳ κείσεται. ἢ μέγα τὸ συμβιοῦν
*able to-wrong in the-middle will-lie or great the to-live-with*
Πτολεμαίῳ καὶ σατράπαις καὶ τοιούτοις ψόφοις, ὧν
*Ptolemy and satraps and such noises of-which*
οὔτε τὸ φιλικὸν βέβαιον οὔτε τὸ διεχθρεῦον ἀκίνδυνον; ἐὰν
*neither the friendly sure nor the hostile safe if*
δὲ ὀργισθῇ τί μοι Γλυκέρα, ἅπαξ αὐτὴν ἁρπάσας
*but be-angry somewhat with-me Glycera once her having-seized*
κατεφίλησα· ἂν ἔτι ὀργίζηται, μᾶλλον αὐτὴν ἐβιασάμην·
*I-have-kissed if still she-be-angry more her I-have-forced*
κἂν βαρυθύμως ἔχῃ, δεδάκρυκα· καὶ πρὸς ταῦτ᾽ οὐκέθ᾽
*and-if sullenly she-is I-have-wept and against these no-longer*
ὑπομείνασα τὰς ἐμὰς λύπας δεῖται λοιπὸν *** οὔτε
*having-endured the my griefs she-asks thereafter (lacuna) neither*
στρατιώτας ἔχουσα οὔτε δορυφόρους οὔτε φύλακας· ἐγὼ
*soldiers having nor bodyguards nor guards I*

γὰρ αὐτῇ εἰμι πάντα. ἦ μέγα καὶ θαυμαστὸν ἰδεῖν τὸν
*for to-her am everything truly great and wonderful to-see the*
καλὸν Νεῖλον· οὐ μέγα δὲ καὶ τὸν Εὐφράτην ἰδεῖν; οὐ μέγα
*fair Nile not great and also the Euphrates to-see not great*
δὲ καὶ τὸν Ἴστρον; οὐ τῶν μεγάλων καὶ ὁ Θερμώδων,
*and also the Ister not of-the great also the Thermodon*
ὁ Τίγρις, ὁ Ἅλυς; εἰ μέλλω πάντας τοὺς ποταμοὺς ὁρᾶν,
*the Tigris the Halys if I-am-to all the rivers to-see*
καταβαπτισθήσεταί μοι τὸ ζῆν μὴ βλέποντι Γλυκέραν. ὁ
*will-be-drowned for-me the to-live not seeing Glycera the*
δὲ Νεῖλος οὗτος καίπερ ὢν καλός, ἀλλ' ἀποτεθηρίωται,
*and Nile this although being fair but has-turned-wild*
καὶ οὐκ ἔστιν οὐδὲ προσελθεῖν αὐτοῦ ταῖς δίναις
*and not it-is-possible not-even to-approach its the eddies*
ἐλλοχωμένου τοσούτοις κακοῖς. ἐμοὶ γένοιτο, βασιλεῦ
*lying-in-ambush by-so-many evils for-me may-it-be king*
Πτολεμαῖε, χώματος καὶ τάφου πατρῴου τυχεῖν. ἐμοὶ
*Ptolemy a-mound and tomb ancestral to-get to-me*
γένοιτο τὸν Ἀττικὸν ἀεὶ στέφεσθαι κισσὸν καὶ τὸν ἐπ'
*may-it-be the Attic always to-be-crowned-with ivy and the at*
ἐσχάρας ὑμνῆσαι κατ' ἔτος Διόνυσον, τὰς μυστηριώτιδας
*the-hearth to-hymn by year Dionysus the mystic*
ἄγειν τελετάς, δραματουργεῖν τι καινὸν ταῖς ἐτησίοις
*to-hold rites to-dramatize something new for-the yearly*
θυμέλαις δρᾶμα, γελῶντα καὶ χαίροντα καὶ ἀγωνιῶντα
*stages a-drama laughing and rejoicing and anguishing*
καὶ φοβούμενον καὶ νικῶντα. Φιλήμων δὲ εὐτυχείτω καὶ
*and fearing and conquering Philemon and let-him-prosper and*
τἀμὰ ἀγαθὰ γενόμενος ἐν Αἰγύπτῳ. οὐκ ἔχει Φιλήμων
*my goods having-become in Egypt not has Philemon*
Γλυκέραν τινά, οὐδὲ ἄξιος ἦν ἴσως τοιούτου ἀγαθοῦ. σὺ
*a-Glycera any nor worthy was-he perhaps of-such good you*

δὲ ἐκ τῶν ἁλώων δέομαι, Γλυκέριον, εὐθὺς πετομένη
*and from the Haloa I-beg little-Glycera straightway flying*
πρὸς ἡμᾶς ἐπὶ τῆς ἀστράβης φέρου. μακροτέραν ἑορτὴν
*to us on the mule be-borne longer feast*
οὐδέποτε ἔγνων οὐδὲ ἀκαιροτέραν. Δήμητερ, ἵλεως γενοῦ.
*never I-knew nor more-ill-timed Demeter gracious become*

4

## Γλυκέρα Μενάνδρῳ

*Glycera to-Menander*

Ἃς διεπέμψω μοι τοῦ βασιλέως ἐπιστολὰς εὐθὺς
*which you-sent to-me of-the king letters straightway*
ἀνέγνων. μὰ τὴν Καλλιγένειαν ἐν ἧς νῦν εἰμί,
*I-read by — Calligeneia in whose-(festival) now I-am*
κατέχαιρον, Μένανδρε, ἐκπλαγὴς ὑπὸ ἡδονῆς γινομένη,
*I-rejoiced Menander astounded by pleasure becoming*
καὶ τὰς παρούσας οὐκ ἐλάνθανον. ἦν δὲ ἥ τε μήτηρ
*and the present not I-escaped-the-notice-of was and both the mother*
μου καὶ ἡ ἑτέρα ἀδελφὴ Εὐφόριον καὶ τῶν φίλων
*my and the other sister Euphorion and of-the friends*
ἣν οἶσθα· καὶ γὰρ παρὰ σοὶ ἐδείπνησε πολλάκις,
*the-one-whom you-know and for with you she-dined often*
καὶ ἐπῄνεις αὐτῆς τὸν ἐπιχώριον ἀττικισμόν, ἀλλ᾽ ὡς
*and you-praised her the native atticism but as*
φοβούμενος αὐτὴν ἐπαινεῖν, ὅτε καὶ μειδιάσασα θερμότερόν
*fearing her to-praise when also having-smiled more-warmly*
σε κατεφίλησα. οὐ μέμνησαι Μένανδρε; θεασάμεναι δέ με
*you I-kissed not you-remember Menander having-seen and me*
παρὰ τὸ εἰωθὸς καὶ τῷ προσώπῳ καὶ τοῖς ὀφθαλμοῖς
*against the custom both in-the face and in-the eyes*

χαίρουσαν "ὦ Γλυκέριον" ἤροντο "τί ἄρα, τί σοι
*rejoicing O little-Glycera they-asked what then what to-you*
τηλικοῦτον γέγονεν ἀγαθόν, ὅτι καὶ ψυχῇ καὶ σώματι
*so-great has-happened good that both in-soul and in-body*
καὶ πᾶσιν ἀλλοιοτέρα νῦν ἡμῖν τις πέφηνας; καὶ τὸ
*and in-all more-altered now to-us somehow you-have-appeared and the*
σῶμα γεγάνωσαι καὶ διαλάμπεις ἐπιχάριτόν τι καὶ
*body you-are-radiant and you-shine-through charming something and*
εὐκταῖον." κἀγὼ "Μένανδρον" ἔφην "τὸν ἐμὸν ὁ Αἰγύπτου
*to-be-prayed-for and-I Menander I-said the my the of-Egypt*
βασιλεὺς Πτολεμαῖος ἐπὶ τῷ ἡμίσει τῆς βασιλείας τρόπον
*king Ptolemy for the half of-the kingdom in-a-way*
τινὰ μεταπέμπεται" μείζονι τῇ φωνῇ φθεγξαμένη καὶ
*some sends-for with-a-louder the voice having-spoken and*
σφοδροτέρᾳ, ὅπως πᾶσαι ἀκούσωσιν αἱ παροῦσαι. καὶ
*more-vehement so-that all might-hear those present and*
ταῦτα ἔλεγον ἐγὼ διατινάσσουσα καὶ σοβοῦσα ταῖς χερσὶν
*these-things I-said I shaking and flourishing with-the hands*
ἐμαυτῆς τὴν ἐπιστολὴν σὺν τῇ βασιλικῇ σφραγῖδι. "χαίρεις
*of-myself the letter with the royal seal do-you-rejoice*
οὖν ἀπολειπομένη;" ἔφρασαν· τὸ δὲ οὐκ ἦν Μένανδρε.
*then being-left they-said the-fact and not was-so Menander*
ἀλλὰ τοῦτο μὲν οὐδενὶ τρόπῳ μὰ τὰς θεάς, οὐδ' εἰ
*but this indeed in-no way by the goddesses not-even if*
βοῦς μοι τὸ δὴ λεγόμενον φθέγξαιτο, πεισθείην
*an-ox to-me the indeed said should-speak I-would-be-persuaded*
ἂν ὅτι βουλήσεταί μέ ποτε ἢ δυνήσεται Μένανδρος
*— that will-wish me ever or will-be-able Menander*
ἀπολιπὼν ἐν Ἀθήναις Γλυκέραν τὴν ἑαυτοῦ μόνος ἐν
*having-left in Athens Glycera the his-own alone in*
Αἰγύπτῳ βασιλεύειν μετὰ πάντων τῶν ἀγαθῶν. ἀλλὰ καὶ
*Egypt to-reign with all the goods but also*

τοῦτό γε δῆλος ἐκ τῶν ἐπιστολῶν ὧν ἀνέγνων ἦν
*this at-least clear from the letters which I-read was*
ὁ βασιλεύς, τἀμὰ πεπυσμένος ὡς ἔοικε περὶ σοῦ, καὶ
*the king my-affairs having-learned as it-seems about you and*
ἀτρέμα δι' ὑπονοιῶν Αἰγυπτίοις θέλων ἀττικισμοῖς σε
*gently through innuendos with-Egyptian wishing atticisms you*
διατωθάζειν. χαίρω διὰ τοῦτο, ὅτι πεπλεύκασι καὶ εἰς
*to-tease I-rejoice because-of this that have-sailed also to*
Αἴγυπτον πρὸς αὐτὸν οἱ ἡμέτεροι ἔρωτες· καὶ πείθεται
*Egypt to him the our loves and he-is-persuaded*
πάντως ἐξ ὧν ἤκουσεν ἀδύνατα σπουδάζειν ἐπιθυμῶν
*wholly from what he-heard impossible-things to-strive-for desiring*
Ἀθήνας πρὸς αὐτὸν διαβῆναι. τί γὰρ Ἀθῆναι χωρὶς
*Athens to him to-cross what for Athens without*
Μενάνδρου; τί δὲ Μένανδρος χωρὶς Γλυκέρας; ἥτις αὐτῷ
*Menander what and Menander without Glycera who for-him*
καὶ τὰ προσωπεῖα διασκευάζω καὶ τὰς ἐσθῆτας ἐνδύω,
*both the masks arrange and the costumes put-on*
κἀν τοῖς παρασκηνίοις ἕστηκα τοὺς δακτύλους ἐμαυτῆς
*and-in the wings stand the fingers of-myself*
πιέζουσα, ἕως ἂν κροταλίσῃ τὸ θέατρον· καὶ τρέμουσα
*pressing until — applauds the theater and trembling*
τότε νὴ τὴν Ἄρτεμιν ἀναψύχω καὶ περιβάλλουσά σε τὴν
*then by — Artemis I-recover and embracing you the*
ἱερὰν τῶν δραμάτων ἐκείνην κεφαλὴν ἐναγκαλίζομαι.
*sacred of-the dramas that head I-clasp*
ἀλλ' ὅ γε ταῖς φίλαις τότε χαίρειν ἔφην, τοῦτ'
*but what at-least to-the friends then to-rejoice I-said this*
ἦν Μένανδρε, ὅτι οὐκ ἄρα Γλυκέρα μόνον ἀλλὰ καὶ
*was Menander that not then Glycera only but also*
βασιλεῖς ὑπερθάλασσοι ἐρῶσί σου, καὶ διαπόντιοι φῆμαι
*kings overseas love you and across-the-sea reports*

τὰς σὰς ἀρετὰς κατηγγέλκασι. καὶ Αἴγυπτος καὶ Νεῖλος
*the your merits have-announced and Egypt and Nile*
καὶ Πρωτέως ἀκρωτήρια καὶ αἱ Φάριαι σκοπιαὶ πάντα
*and of-Proteus headlands and the Pharian lookouts all*
μετέωρα νῦν ἐστί, βουλόμενα ἰδεῖν Μένανδρον καὶ ἀκοῦσαι
*on-tiptoe now are wishing to-see Menander and to-hear*
φιλαργύρων καὶ ἐρώντων καὶ δεισιδαιμόνων καὶ ἀπίστων
*of-misers and lovers and superstitious and distrustful*
καὶ πατέρων καὶ υἱῶν καὶ θεραπόντων καὶ παντὸς
*and fathers and sons and servants and every*
ἐνσκηνοβατουμένου· ὧν ἀκούσονται μέν, οὐκ ὄψονται δὲ
*put-on-the-stage whom they-will-hear indeed not they-will-see but*
Μένανδρον, εἰ μὴ ἐν ἄστει παρὰ Γλυκέρᾳ γένοιντο καὶ τὴν
*Menander if not in town with Glycera they-should-come and the*
ἐμὴν εὐδαιμονίαν ἴδοιεν, τὸν πάντῃ διὰ τὸ κλέος αὐτοῦ
*my happiness should-see the everywhere because-of the fame his*
Μένανδρον καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐμοὶ περικείμενον.
*Menander both by-night and by day on-me clinging*
οὐ μὴν ἀλλ' εἴγε ἄρα πόθος αἱρεῖ σέ τις καὶ τῶν
*not however but if-at-least after-all longing seizes you some even of-the*
ἐκεῖ ἀγαθῶν καὶ εἰ μηδενὸς ἄλλου τῆς γε Αἰγύπτου,
*there goods and if of-nothing other — at-least of-Egypt*
χρήματος μεγάλου, καὶ τῶν αὐτόθι πυραμίδων καὶ τῶν
*thing great and of-the there pyramids and of-the*
ἠχούντων ἀγαλμάτων καὶ τοῦ περιβοήτου λαβυρίνθου καὶ
*sounding statues and of-the famous labyrinth and*
τῶν ἄλλων ὅσα ἀπὸ χρόνου ἢ τέχνης παρ' αὐτοῖς τίμια,
*of-the others as-many-as from time or art among them precious*
δέομαί σου Μένανδρε, μὴ ποιήσῃ με πρόφασιν· μηδέ με
*I-beg you Menander not make me pretext nor me*
Ἀθηναῖοι διὰ ταῦτα μισησάτωσαν ἤδη τοὺς μεδίμνους
*Athenians because-of these-things let-them-hate already the medimni*

ἀριθμοῦντες, οὓς αὐτοῖς ὁ βασιλεὺς πέμψει διὰ σέ. ἀλλ᾽
*counting which to-them the king will-send because-of you but*
ἄπιθι πᾶσι θεοῖς, ἀγαθῇ τύχῃ, δεξιοῖς πνεύμασι, Διὶ
*go-away with-all gods with-good fortune with-favorable winds with-Zeus*
οὐρίῳ. ἐγὼ γάρ σε οὐκ ἀπολείψω. μὴ τοῦτο δόξῃς με
*of-fair-wind I for you not will-leave not this think me*
λέγειν, οὐδ᾽ αὐτὴ δύναμαι κἂν θέλω· ἀλλὰ παρεῖσα
*to-say not-even I-myself can even-if I-wish but having-dismissed*
τὴν μητέρα καὶ τὰς ἀδελφὰς ἑαυτῆς ἔσομαι συμπλέουσά
*the mother and the sisters of-myself I-will-be sailing-with*
σοι· καὶ σφόδρα τῶν εὐθαλάσσων γεγένημαι, εὖ οἶδα,
*you and very of-the good-sailors I-have-become well I-know*
καὶ ἐκκλωμένης κώπης ναυτίας ἐγὼ θεραπεύσω. θάλψω
*and of-the-straining oar sea-sickness I will-tend I-will-warm*
σου τὸ ἀσθενοῦν τῶν πελαγισμῶν, ἄξω δέ σε ἄτερ
*your the weakness from-the seafarings I-will-lead and you without*
μίτων Ἀριάδνη εἰς Αἴγυπτον, οὐ Διόνυσον ἀλλὰ Διονύσου
*threads an-Ariadne to Egypt not Dionysus but of-Dionysus*
θεράποντα καὶ προφήτην. οὐδὲ ἐν Νάξῳ καὶ ἐρημίαις
*servant and prophet nor in Naxos and solitudes*
ναυτικαῖς ἀπολειφθήσομαι τὰς σὰς ἀπιστίας κλαίουσα καὶ
*nautical shall-I-be-left the your faithlessness weeping and*
ποτνιωμένη. χαιρέτωσαν οἱ Θησεῖς ἐκεῖνοι καὶ τὰ ἄπιστα
*lamenting let-them-fare-well the Theseuses those and the faithless*
τῶν πρεσβυτέρων ἁμπλακήματα. ἡμῖν δὲ βέβαια πάντα,
*of-the elders errors to-us but sure all-things*
καὶ τὸ ἄστυ καὶ ὁ Πειραιεὺς καὶ ἡ Αἴγυπτος. οὐδὲν
*both the town and — Piraeus and — Egypt no*
χωρίον ἡμῶν τοὺς ἔρωτας οὐχὶ δέξεται πλήρεις· κἂν
*place our the loves not will-receive full even-if*
πέτραν οἰκῶμεν, εὖ οἶδα Ἀφροδίσιον αὐτὴν τὸ εὔνουν
*a-rock we-should-inhabit well I-know a-shrine-of-Aphrodite it the goodwill*

ποιήσει. πέπεισμαι μήτε χρημάτων σε περιουσίας μήτε
*will-make I-am-persuaded neither of-money you of-abundance nor*
πλούτου τὸ καθάπαξ ἐπιθυμεῖν, ἐν ἐμοὶ καὶ τοῖς δράμασι
*of-wealth the at-all to-desire in me and in-the dramas*
τὴν εὐδαιμονίαν κατατιθέμενον· ἀλλ' οἱ συγγενεῖς, ἀλλ'
*the happiness placing but the relatives but*
ἡ πατρίς, ἀλλ' οἱ φίλοι, σχεδὸν οἶσθα πάντῃ πάντες
*the fatherland but the friends nearly you-know in-every-way all*
πολλῶν δέονται, πλουτεῖν ἐθέλουσι καὶ χρηματίζεσθαι.
*of-much are-in-need to-be-rich wish and to-make-money*
σὺ μὲν οὐδέποτε περὶ οὐδενὸς αἰτιάσῃ με οὔτε μικροῦ οὔτε
*you indeed never about anything will-blame me neither small nor*
μεγάλου, τοῦτο εὖ οἶδα, πάλαι μὲν ἡττημένος μου πάθει
*great this well I-know long-ago indeed overcome by-me with-passion*
καὶ ἔρωτι, νῦν δὲ ἤδη καὶ κρίσιν προστεθεικὼς αὐτοῖς,
*and love now and already also judgment having-added to-them*
ἧς μᾶλλον περιέχομαι, Μένανδρε, φοβουμένη τῆς ἐμπαθοῦς
*which more I-cling-to Menander fearing of-the passionate*
φιλίας τὸ ὀλιγοχρόνιον· ἔστι γὰρ ὡς βίαιος ἡ ἐμπαθὴς
*love the shortness-of-life is for as violent the passionate*
φιλία οὕτω καὶ εὐδιάλυτος· οἷς δὲ παραβέβληνται καὶ
*love so also easily-dissolved to-which but are-added also*
βουλαί, ἀρραγέστερον ἐν τούτοις ἤδη τὸ ἔργον οὔτε ἀμιγὲς
*counsels more-unbreakable in these already the thing neither unmixed*
ἡδοναῖς ἔσται διὰ τὸ πάθος, οὔτε περιδεές. λύσεις δὲ
*with-pleasures will-be because-of the passion nor fearful you-will-loose and*
τὴν γνώμην, ὅς γε πολλάκις περὶ τούτων αὐτὸς νουθετῶν
*the judgment who at-least often about these-things yourself admonishing*
με διδάσκεις. ἀλλ' εἰ καὶ σὺ μή μέ τι μέμψῃ μηδὲ
*me teach but if even you not me at-all will-reproach nor*
αἰτιάσῃ, δέδοικα τοὺς Ἀττικοὺς σφῆκας, οἵτινες ἄρξονται
*blame I-fear the Attic wasps who will-begin*

πάντῃ με περιβομβεῖν ἐξιοῦσαν ὡς αὐτὸν ἀφῃρημένην τῆς
*everywhere me to-buzz-around going-out as him having-robbed of-the*
Ἀθηναίων πόλεως τὸν πλοῦτον. ὥστε δέομαί σου Μένανδρε,
*of-Athenians city the wealth so-that I-beg you Menander*
ἐπίσχες, μηδέ πω τῷ βασιλεῖ μηδὲν ἀντεπιστείλῃς. ἔτι
*hold-back nor yet to-the king anything write-back still*
βούλευσαι, περίμεινον ἕως κοινῇ γενώμεθα καὶ μετὰ
*deliberate wait until together we-are and with*
τῶν φίλων καὶ Θεοφράστου καὶ Ἐπικούρου. τάχα γὰρ
*the friends both Theophrastus and Epicurus perhaps for*
ἀλλοιότερα κἀκείνοις καὶ σοὶ φανεῖται ταῦτα. μᾶλλον δὲ
*different both-to-them and to-you will-appear these-things rather but*
καὶ θυσώμεθα καὶ εἰδῶμεν τί λέγει τὰ ἱερά, εἴτε λῷον εἰς
*also let-us-sacrifice and let-us-see what say the victims whether better to*
Αἴγυπτον ἡμᾶς ἀπιέναι εἴτε μένειν. καὶ χρηστηριασθῶμεν
*Egypt us to-go-away or to-stay and let-us-consult-the-oracle*
εἰς Δελφοὺς πέμψαντες· πάτριος ἡμῖν ἐστι θεός. ἀπολογίαν
*to Delphi having-sent ancestral to-us is god a-defense*
ἕξομεν καὶ πορευόμενοι καὶ μένοντες πρὸς ἀμφότερα τοὺς
*we-shall-have both going and staying with both-(courses) the*
θεούς. μᾶλλον δὲ ἐγὼ τοῦτο ποιήσω· καὶ γὰρ ἔχω τινὰ
*gods rather but I this will-do and for I-have some*
νεωστὶ γυναῖκα ἀπὸ Φρυγίας ἥκουσαν εὖ μάλα τούτων
*lately a-woman from Phrygia come well very of-these-things*
ἔμπειρον, γαστρομαντεύεσθαι δεινὴν καὶ τῇ τῶν σπαρτῶν
*experienced to-divine-by-the-belly clever and by-the of-the cords*
διατάσει, νύκτωρ δὲ καὶ τῇ τῶν θεῶν δείξει· καὶ οὐ
*stretching by-night and also by-the of-the gods showing and not*
δεῖ λεγούσῃ πιστεύειν, ἀλλ᾽ ἰδεῖν, ὥς φασι. διαπέμψομαι
*one-must her-speaking to-trust but to-see as they-say I-will-send*
πρὸς αὐτήν. καὶ γάρ, ὡς ἔφη, καὶ κάθαρσίν τινα δεῖ
*to her and for as she-said also a-purification some it-is-needful*

προτελέσαι τὴν γυναῖκα καὶ παρασκευάσαι τινὰ ζῷα
*to-perform-first the woman and to-prepare some animals*
ἱερεῦσαι καὶ λιβανωτὸν ἄρρενα καὶ στύρακα μακρὸν καὶ
*to-sacrifice and frankincense male and storax long and*
πέμματα σελήνης καὶ ἄγρια φύλλα τῶν ἀνθρώπων. οἶμαι
*cakes of-the-moon and wild leaves of-the men I-think*
δὲ καὶ σὲ φθήσεσθαι Πειραιόθεν ἐλθεῖν. ἢ δήλωσόν
*and also you to-be-going-to-come-first from-Piraeus to-come or show*
μοι σαφῶς μέχρι τίνος οὐ δύνασαι Γλυκέραν ἰδεῖν, ἵν'
*me clearly till when not you-can Glycera to-see so-that*
ἐγὼ μὲν καταδράμω πρὸς σέ, τὴν δὲ Φρυγίαν ταύτην
*I indeed may-run-down to you the and Phrygian this*
ἑτοιμάσωμαι ἤδη. καὶ ἃ μελετᾶν πειράζεις ἀπὸ σαυτοῦ
*may-prepare already and what to-practice you-try from yourself*
με τὸν Πειραιᾶ καὶ τὸ ἀγρίδιον καὶ τὴν Μουνυχίαν καὶ
*me — Piraeus and the little-farm and — Munychia and*
κατ' ὀλίγον ὅπως ἐκπέσωσι τῆς ψυχῆς.
*by little so-that they-may-fall-out of-the soul*
οὐ δύναμαι ταῦτα ποιεῖν μὰ τοὺς θεούς. οὐδὲ σὺ
*not I-can these-things to-do by the gods nor you*
δύνασαι διαπεπλεγμένος ὅλως ἤδη μοι. κἂν οἱ βασιλεῖς
*can entwined wholly already with-me even-if the kings*
ἐπιστείλωσι πάντες, ἐγὼ πάντων εἰμὶ παρὰ σοὶ βασιλικωτέρα
*write all I of-all am with you more-royal*
καὶ εὐσεβεῖ σοι κέχρημαι ἐραστῇ καὶ ὅρκων ἱερῶν μνήμονι.
*and pious you I-have-had lover and of-oaths holy mindful*
ὥστε πειρῶ μᾶλλον ἐμοί, φιλότης, θᾶσσον εἰς ἄστυ
*so-that try rather for-me love more-quickly to town*
παραγενέσθαι, ὅπως, εἴ γε μεταβουλεύσαιο τῆς πρὸς
*to-come so-that if at-least you-should-change-your-mind of-the to*
βασιλέα ἀφίξεως, ἔχῃς εὐτρεπισμένα τὰ δράματα, καὶ
*the-king journey you-may-have prepared the dramas and*

ἐξ αὐτῶν ἃ μάλιστα ὀνῆσαι δύναται Πτολεμαῖον καὶ τὸν
*from them which most to-benefit can Ptolemy and the*
αὐτοῦ Διόνυσον, οὐ δημοκρατικόν, ὡς οἶσθα, εἴτε Θαΐδα
*his Dionysus not democratic as you-know whether Thais*
εἴτε Μισούμενον εἴτε Θρασυλέοντα εἴτε Ἐπιτρέποντας εἴτε
*or Misumenus or Thrasyleon or Epitrepontes or*
Ῥαπιζομένην εἴτε Σικυώνιον, εἴθ' ὁτιοῦν ἄλλο. τί δέ; ἐγὼ
*Rhapizomene or Sicyonius or whatever other what but I*
θρασεῖα καὶ τολμηρά τίς εἰμι τὰ Μενάνδρου διακρίνειν
*bold and daring someone am the of-Menander to-judge*
ἰδιῶτις οὖσα; ἀλλὰ σοφὸν ἔχω σου τὸν ἔρωτα καὶ ταῦτ'
*laywoman being but wise I-have your the love also these-things*
εἰδέναι δύνασθαι. σὺ γάρ με ἐδίδαξας εὐφυᾶ γυναῖκα
*to-know to-be-able you for me taught a-gifted woman*
ταχέως παρ' ἐρώντων μανθάνειν· ἀλλ' οἰκονομοῦσιν ἔρωτες
*quickly from lovers to-learn but manage loves*
σπεύδοντες. αἰδούμεθα μὰ τὴν Ἄρτεμιν ἀνάξιοι ὑμῶν
*hastening we-are-ashamed by — Artemis unworthy of-you*
εἶναι μὴ θᾶττον μανθάνουσαι. πάντως δέομαι, Μένανδρε,
*to-be not more-quickly learning by-all-means I-beg Menander*
κἀκεῖνο παρασκευάσασθαι τὸ δρᾶμα ἐν ᾧ με γέγραφας,
*also-that to-prepare the drama in which me you-have-written*
ἵνα κἂν μὴ παραγένωμαι σὺν σοί, διὰ σοῦ πλεύσω πρὸς
*so-that even-if not I-come with you through you I-may-sail to*
Πτολεμαῖον, καὶ μᾶλλον αἴσθηται ὁ βασιλεὺς ὅσον ἰσχύει
*Ptolemy and more may-perceive the king how-much it-avails*
καὶ παρὰ σοὶ γεγραμμένους φέρειν ἑαυτοῦ τοὺς ἔρωτας
*also with you written to-bring of-himself the loves*
ἀφεὶς ἐν ἄστει τοὺς ἀληθινούς. ἀλλ' οὐδὲ τούτους ἀφήσεις,
*having-left in town the true but not-even these will-you-leave*
εὖ ἴσθι· κυβερνᾶν ἢ πρωρατεύειν, ἕως δεῦρο παραγίνῃ
*well know to-steer or to-be-at-the-prow until hither you-come*

πρὸς ἡμᾶς Πειραιόθεν, μυηθήσομαι, ἵνα σε ταῖς ἐμαῖς
*to us from-Piraeus I-will-be-initiated so-that you with-the my*
χερσὶν ἀκύμονα ναυστολήσω πλέουσα, εἰ τοῦτο ἄμεινον
*hands calm I-may-convey sailing if this better*
εἶναι φαίνοιτο. φανείη δέ, ὦ θεοὶ πάντες, ὃ κοινῇ
*to-be should-appear may-it-appear and O gods all what in-common*
λυσιτελήσει, καὶ μαντεύσαιτο ἡ Φρυγία τὰ συμφέροντα
*will-profit and may-prophesy the Phrygian the advantageous-things*
κρεῖσσον τῆς θεοφορουμένης σου κόρης. ἔρρωσο.
*better-than the god-possessed your girl farewell*

## BOOK III.1–14 · FISHERMEN, PARASITES, AND FARMERS

*Glaucippe tells her mother she loves a town youth and would rather leap from the Piraean breakwaters than marry the helmsman's son; her mother tells her to keep silent before her father hears. A fisherman sells his wife's necklace to pay off a money-lender. Parasites plot to move the sundial forward, flee a courtesan's boiling pot, contemplate hanging, are bled back from a surfeit, and plan to carry off a courtesan for a patron. Farmers lose a hare and lame a puppy, curse a cock that broke a dream of riches, rebuke a wife grown fond of town, enchant goats with a pipe, and see a rainstorm bury their new olives; a father bids his son leave the philosophers of the Academy for the farm.*

1

### Γλαυκίππη Χαρόπῃ

*Glaucippe to-Charope*

Οὐκέτ' εἰμὶ ἐν ἐμαυτῇ, ὦ μῆτερ, οὐδὲ ἀνέχομαι γήμασθαι
*no-longer I-am in myself O mother nor do-I-endure to-be-married*
ᾧ με κατεγγυήσειν ἐπηγγείλατο ἔναγχος ὁ πατήρ,
*to-whom me to-be-going-to-betroth promised lately the father*
τῷ Μηθυμναίῳ μειρακίῳ τῷ παιδὶ τοῦ κυβερνήτου, ἐξ
*to-the Methymnaean youth the son of-the helmsman since*

ὅτου τὸν ἀστικὸν ἔφηβον ἐθεασάμην τὸν ὠσχοφόρον,
*the-time-when the town ephebe I-beheld the branch-bearer*
ὅτε με ἄστυδε προὔτρεψας ἀφικέσθαι ὠσχοφορίων ὄντων.
*when me to-town you-urged to-come Oschophoria being*
καλὸς γάρ ἐστι, καλός, ὦ μῆτερ, καὶ ἥδιστος καὶ
*handsome for he-is handsome O mother and sweetest and*
βοστρύχους ἔχει βρύων οὐλοτέρους, καὶ μειδιᾷ τῆς
*curls has than-mosses curlier and smiles than-the*
θαλάττης γαληνιώσης χαριέστερον, καὶ τὰς βολὰς τῶν
*sea being-calm more-charmingly and the glances of-the*
ὀφθαλμῶν ἐστι κυαναυγής, οἷος τὸ πρῶτον ὑπὸ τῶν
*eyes is dark-blue-gleaming such-as the first by the*
ἡλιακῶν ἀκτίνων ὁ πόντος καταλαμπόμενος φαίνεται. τὸ δὲ
*sun's rays the deep shone-upon appears the and*
ὅλον πρόσωπον αὐταῖς ἐνορχεῖσθαι ταῖς παρειαῖς εἴποις
*whole face on-them to-dance-in the cheeks you-would-say*
ἂν τὰς Χάριτας τὸν Ὀρχομενὸν ἀπολιπούσας καὶ τῆς
*— the Graces — Orchomenus having-left and in-the*
Ἀργαφίας κρήνης ἀπονιψαμένας· τὼ χείλη δὲ τὰ ῥόδα τῆς
*Argaphian spring having-washed the-two lips and the roses —*
Ἀφροδίτης ἀποσυλήσας τῶν κόλπων διήνθισται ἐπὶ τῶν
*of-Aphrodite having-stripped from-the bosoms he-has-bloomed on the*
ἄκρων ἐπιθέμενος. ἢ τούτῳ μιγήσομαι ἢ τὴν Λεσβίαν
*edges having-placed either with-this-one I-will-lie or the Lesbian*
μιμησαμένη Σαπφὼ οὐκ ἀπὸ τῆς Λευκάδος πέτρας, ἀλλ' ἀπὸ
*having-imitated Sappho not from the Leucadian rock but from*
τῶν Πειραϊκῶν προβόλων ἐμαυτὴν εἰς τὸ κλυδώνιον ὤσω.
*the Piraean breakwaters myself into the surf I-will-push*

2

## Χαρόπη Γλαυκίππῃ

*Charope to-Glaucippe*

Μέμηνας, ὦ θυγάτριον, καὶ ἀληθῶς ἐξέστης.
*you-are-mad O little-daughter and truly you-are-out-of-your-mind*
ἐλλεβόρου δεῖ σοι, καὶ οὐ τοῦ κοινοῦ τοῦ δὲ ἀπὸ
*hellebore is-needed for-you and not of-the common-(kind) of-the but from*
τῆς Φωκίδος Ἀντικύρας, ἥτις δέον αἰσχύνεσθαι
*the Phocian Anticyra you-who when-it-is-needful to-be-ashamed*
κορικῶς ἀπέξυσαι τὴν αἰδῶ τοῦ προσώπου. ἔχε ἀτρέμα
*maidenly have-scraped-off the modesty of-the face keep quiet*
καὶ κατὰ σεαυτὴν γενομένη ῥάπιζε τὸ κακὸν ἐξωθοῦσα
*and by yourself having-become beat-away the evil thrusting-out*
τῆς διανοίας. εἰ γάρ τι τούτων ὁ σὸς πατὴρ
*from-the mind if for anything of-these the your father*
πύθοιτο, οὐδὲν διασκεψάμενος οὐδὲ μελλήσας τοῖς ἐναλίοις
*should-learn nothing having-considered nor having-delayed to-the sea*
βορὰν παραρρίψει σε θηρίοις.
*food he-will-throw you beasts*

3

## Εὔαγρος Φιλοθήρῳ

*Euagrus to-Philotherus*

Εὐοψία μὲν ἦν καὶ πλῆθος ἰχθύων· ἐγὼ δὲ τὴν
*a-good-catch indeed there-was and a-multitude of-fish I but the*
σαγήνην ἁπλώσας *** ἠπόρουν ὅ τι πράξαιμι.
*seine having-spread (lacuna) I-was-at-a-loss what ever I-should-do*
ἔδοξεν οὖν Σισύφειόν τί μοι βουλευσαμένῳ βούλευμα
*it-seemed therefore Sisyphean some to-me having-deliberated plan*

ἐλθεῖν παρὰ τὸν δανειστὴν Χρέμητα, καὶ ὑποθήκην αὐτῷ
*to-go to the money-lender Chremes and a-mortgage to-him*
καθομολογήσαντα τὸ σκάφος λαβεῖν χρυσίνους τέσσαρας,
*having-agreed-to the vessel to-get gold-pieces four*
ἐξ ὧν αὖθις καινουργῆσαι μοι τὴν σαγήνην ὑπάρξειεν.
*from which again to-renew for-me the seine might-be-possible*
καὶ δῆτα τοῦτο λόγου θᾶττον ἐγένετο. καὶ ὁ Χρέμης ὁ
*and indeed this than-word quicker happened and — Chremes the*
κατεσκληκώς, ὁ κατεσπακὼς τὰς ὀφρῦς, ὁ ταυρηδὸν
*withered-one the-one having-contracted the brows the-one bull-like*
πάντας ὑποβλέπων, ἴσως ἔρωτι τῆς ἀκάτου χαλάσας
*all eyeing perhaps from-love of-the boat having-slackened*
τὸ βαρὺ καὶ ἀμειδές, ἀνεὶς τὰς ὄψεις ὑπεμειδία πρός
*the heavy and unsmiling having-relaxed the looks smiled at*
με καὶ οἷος εἶναι ὑπουργεῖν πάντα ἔφασκεν. εὐθὺς μὲν
*me and willing to-be to-serve in-all he-claimed straightway indeed*
οὖν ἔκδηλος ἦν, οὕτως ἀθρόως τὸ σκυθρωπὸν λύσας,
*then evident he-was so all-at-once the sullenness having-loosed*
οὐκ ἀγαθόν τι διανοούμενος, ἀλλ' ὕπουλον ἔχων τὸ
*not good something intending but festering having the*
φιλάνθρωπον· ὡς δὲ ἐνστάντος τοῦ καιροῦ πρὸς τῷ
*kindliness when but having-arrived the time besides the*
ἀρχαίῳ καὶ τὸν τόκον ἀπῄτει οὐδὲ εἰς ὥραν ἐνδιδούς,
*principal also the interest he-demanded not-even for an-hour granting*
ἐπέγνων τοῦτον ἐκεῖνον ὃν ἠπιστάμην πρὸς τῇ Διομηίδι
*I-recognized this-one that-one whom I-knew at the Diomeian*
πύλῃ καθήμενον, τὸν τὴν καμπύλην ἔχοντα, τὸν ἐχθρὰ
*gate sitting the-one the crook having the-one hostile-things*
πᾶσι φρονοῦντα Χρέμητα τὸν Φλυέα· καὶ γὰρ ἕτοιμος ἦν
*to-all minding Chremes the Phlyan and for ready he-was*
ἐπιλήψεσθαι τοῦ σκάφους. ἰδὼν οὖν εἰς ὅσον ἀμηχανίας
*to-seize the vessel having-seen then into how-great helplessness*

ἐληλάκειν, οἴκαδε ἀποτρέχω καὶ τὸ χρυσοῦν ἁλύσιον, ὅπερ
*I-had-been-driven home I-run and the golden little-chain which*
ποτὲ εὐπορῶν τῇ γαμετῇ κόσμον εἶναι περιαυχένιον
*once being-well-off for-the wife an-ornament to-be for-the-neck*
ἐπεπορίκειν, ἀποσπάσας τοῦ τραχήλου, ὡς Πασέωνα
*I-had-provided having-pulled-off from-the neck to Paseon*
τὸν τραπεζίτην ἐλθὼν ἀπημπόλησα, καὶ συναγαγὼν τὰ
*the banker having-gone I-sold and having-collected the*
νομίσματα αὐτοῖς τόκοις φέρων ἀπέδωκα, καὶ ὤμοσα
*coins together-with the-interest bringing I-repaid and I-swore*
κατ᾽ ἐξωλείας ἐμαυτοῦ μήποτε ὑπομεῖναι παρά τινα τῶν
*by utter-destruction of-myself never to-submit to any of-the*
ἐν πόλει δανειστῶν ἐλθεῖν μηδ᾽ ἂν εἰ φθάνοιμι λιμῷ
*in city money-lenders to-go not-even — if I-should-come by-hunger*
κατασκλῆναι. ἄμεινον γὰρ εὐπρεπῶς ἀποθανεῖν ἢ ζῆν
*to-wither better for decently to-die than to-live*
ὑποκείμενον δημοτικῷ καὶ φιλοκερδεῖ πρεσβύτῃ.
*subject to-a-vulgar and gain-loving old-man*

4

## Τρεχέδειπνος Λοπαδεκθάμβῳ

*Trechedeipnus to-Lopadecthambus*

Ὁ γνώμων οὔπω σκιάζει τὴν ἕκτην, ἐγὼ δὲ ἀπεσκληκέναι
*the gnomon not-yet shades the sixth I but to-have-withered*
κινδυνεύω τῷ λιμῷ κεντούμενος. εἶεν, ὥρα μοι
*am-in-danger by-the hunger being-goaded well time for-me*
βουλεύματος, Λοπαδέκθαμβε, μᾶλλον δὲ μοχλοῦ καὶ
*for-a-plan Lopadecthambus rather and for-a-crowbar and*
καλῳδίου· εἰ γὰρ καὶ ὅλην καταβαλοῦμεν τὴν κίονα τὴν
*a-cord if for even whole we-will-pull-down the column the-one*

τὸ πικρὸν τοῦτο ὡρολόγιον ἀνέχουσαν, ἢ τὸν γνώμονα
*the bitter this clock holding-up or the gnomon*
τρέψομεν ἐκεῖσε νεύειν οὗ τάχιον δυνήσεται τὰς ὥρας
*we-will-turn thither to-point where sooner it-will-be-able the hours*
ἀποσημαίνειν, καὶ ἔσται τὸ βούλευμα Παλαμήδειον· ὡς
*to-signal also will-be the plan Palamedean as*
νῦν ἐγώ σοι αὖος ὑπὸ λιμοῦ καὶ αὐχμηρός. Θεοχάρης δὲ
*now I to-you dry from hunger and parched Theochares and*
οὐ πρότερον καταλαμβάνει τὴν στιβάδα πρὶν αὐτῷ τὸν
*not sooner takes the couch before to-him the*
οἰκέτην δραμόντα φράσαι τὴν ἕκτην ἑστάναι. δεῖ οὖν
*slave having-run to-tell the sixth to-stand it-is-needful therefore*
ἡμῖν τοιούτου σκέμματος, ὃ κατασοφίσασθαι τὴν τοῦ
*for-us such a-scheme which to-outwit the —*
Θεοχάρους εὐταξίαν δυνήσεται. τραφεὶς γὰρ ὑπὸ παιδαγωγῷ
*of-Theochares orderliness will-be-able reared for under a-tutor*
βαρεῖ καὶ ὠφρυωμένῳ οὐδὲν φρονεῖ νεώτερον, ἀλλ᾽ οἷά τις
*heavy and supercilious nothing he-thinks newer but like some*
Λάχης ἢ Ἀπόληξις αὐστηρός ἐστι τοῖς τρόποις καὶ οὐκ
*Laches or Apolexis severe he-is in-the ways and not*
ἐπιτρέπει τῇ γαστρὶ πρὸ τῆς ὥρας τοὐμπίπλασθαι. ἔρρωσο.
*permits the belly before the hour to-be-filled farewell*

5

## Ἑκτοδιώκτης Μανδιλοκολάπτῃ

*Hectodioctes to-Mandilocolaptes*

Χθὲς δείλης ὀψίας Γοργίας ὁ ἐτεοβουτάδης συμβαλών
*yesterday afternoon late Gorgias the Eteobutad having-met*
μοι κατὰ τύχην χρηστῶς ἠσπάσατο καὶ κατεμέμφετο ὅτι
*me by chance kindly greeted-(me) and blamed-(me) that*

μὴ θαμίζοιμι παρ᾽ αὐτόν. καὶ μικρὰ προσπαίξας "ἴθι πρὸς
*not I-came-often to him and a-little having-joked come by*
Διός" εἶπεν "ὦ βέλτιστε, καὶ μετὰ βραχὺ λουσάμενος
*Zeus he-said O best-of-men and after a-short-while having-bathed*
ἦκε Ἀηδόνιον ἡμῖν τὴν ἑταίραν ἄγων. ἔστι δέ μοι συνήθης
*come Aedonion to-us the courtesan bringing she-is and to-me familiar*
ἐπιεικῶς καὶ μένει, πάντως οὐκ ἀγνοεῖς, μικρὸν ἄπωθεν
*fairly and lives surely not you-are-ignorant a-little away-from*
τοῦ λεωκορίου· δεῖπνόν τε ἡμῖν ηὐτρέπισται γεννικὸς ἰχθὺς
*the leocorium dinner both for-us has-been-prepared a-noble fish*
τεμαχίτης καὶ σταμνία τοῦ Μενδησίου νέκταρος, εἴποι
*for-slicing and jars of-the Mendaean nectar would-say*
τις ἄν, πεπληρωμένα." καὶ ὁ μὲν ταῦτα εἰπὼν ᾤχετο·
*one — filled and he indeed these-things having-said went-off*
ἐγὼ δὲ παρὰ τὴν Ἀηδόνιον δραμὼν καὶ φράσας παρ᾽ ὅτου
*I and to — Aedonion having-run and having-told by whom*
καλεῖται, ὀλίγου ἐδέησα κινδύνῳ περιπεσεῖν. ἀγνώμονος
*she-is-invited by-a-little I-lacked into-danger to-fall ungrateful*
γὰρ ὡς ἔοικε πειραθεῖσα τοῦ Γοργίου καὶ μικροπρεποῦς
*for as it-seems having-found — Gorgias and mean*
περὶ τὰς ἀντιδόσεις, τὴν ὀργὴν ἔναυλον ἔχουσα, πλήρη
*about the return-gifts the anger ringing-in-her-ears having full*
τὴν κακάβην ἀποσπάσασα τῶν χυτροπόδων ὀλίγου ἐδέησέ
*the pot having-snatched from-the pot-stand by-a-little she-lacked*
μου κατὰ τοῦ βρέγματος καταχέαι ζέοντος τοῦ ὕδατος,
*my over the crown to-pour boiling the water*
εἰ μὴ φθάσας ἀπεπήδησα παρὰ βραχὺ φυγὼν τὸν
*if not having-anticipated I-had-leapt-away by little fleeing the*
κίνδυνον. οὕτως ἡμεῖς ἐλπίσιν ἀπατηλαῖς βουκολούμενοι
*danger so we with-hopes deceitful being-cheated*
πλείους τῶν ἡδονῶν τοὺς προπηλακισμοὺς ὑπομένομεν.
*more than-the pleasures the insults endure*

6

## Ἀρτεπίθυμος Κνισοζώμῳ

*Artepithymus to-Cnisozomus*

Ἀγχόνης μοι δεῖ, καὶ ὄψει με οὐ μετὰ μακρὸν ἐν
*of-a-halter for-me is-needed and you-will-see me not after long in*
βρόχῳ τὸν τράχηλον ἔχοντα. οὔτε γὰρ τὰ ῥαπίσματα οἷός
*a-noose the neck having neither for the slaps able*
τέ εἰμι φέρειν καὶ τὴν ἄλλην παροινίαν τῶν κάκιστ᾽
*— I-am to-bear and the other drunken-violence of-the in-the-worst-way*
ἀπολουμένων ἐρανιστῶν, οὔτε τῆς μιαρᾶς καὶ ἀδηφάγου
*to-be-going-to-perish club-members nor the foul and gluttonous*
γαστρὸς κρατεῖν· ἡ μὲν γὰρ αἰτεῖ, καὶ οὐ πρὸς κόρον μόνον
*belly to-master the indeed for demands and not to fullness only*
ἀλλ᾽ εἰς τρυφήν· τὸ πρόσωπον δὲ τὰς ἐπαλλήλους πληγὰς
*but to luxury the face and the successive blows*
οὐκ ἀνέχεται, καὶ κινδυνεύω τοῖν ὀφθαλμοῖν τὸν ἕτερον
*not endures and I-run-the-risk of-the two-eyes the one*
συσταλῆναι ὑπὸ τῶν ῥαπισμάτων ἐνοχλούμενος. ἰοὺ ἰοὺ
*to-be-closed by the slaps being-harassed ah ah*
τῶν κακῶν, οἷα ὑπομένειν ἡμᾶς ἀναγκάζει ἡ παμφάγος
*of-the evils what-things to-endure us compels the all-eating*
αὕτη καὶ παμβορωτάτη γαστήρ. ἔκρινα οὖν πολυτελοῦς
*this and most-voracious belly I-decided therefore costly*
τραπέζης ἀπολαύσας ἀποπτύσαι τὸ ζῆν, κρείττονα ὀδυνηροῦ
*table having-enjoyed to-spit-out the life better than-a-painful*
βίου τὸν καθ᾽ ἡδονὴν θάνατον ἡγησάμενος.
*life the by pleasure death having-thought*

7

## Ἑτοιμόκοσσος Ζωμεκπνέοντι

*Hetoimocossus to-Zomecpneon*

Ἰατταταιάξ, τίς ἦν ἡ χθὲς ἡμέρα; ἢ τίς δαίμων ἢ θεὸς
*oh-oh-oh what was the yesterday day or what spirit or god*
ἀπὸ μηχανῆς ἐρρύσατό με ἀκαρῆ μέλλοντα παρὰ τοὺς
*from machine rescued me by-a-hair being-about to the*
πλείονας ἰέναι; εἰ μὴ γὰρ ἀναζεύξαντά με τοῦ συμποσίου
*majority to-go if not for having-left me the drinking-party*
κατά τινα ἀγαθὴν τύχην Ἀκεσίλαος ὁ ἰατρὸς ἡμιθνῆτα,
*by some good fortune Acesilaus the doctor half-dead*
μᾶλλον δὲ αὐτόνεκρον θεασάμενος μαθηταῖς ἐπιτάττων
*rather and a-corpse having-seen to-the-students ordering*
φοράδην ἀνελεῖν ἤγαγεν ὡς ἑαυτὸν οἴκαδε καὶ ἀπερᾶν
*carried to-take-up brought to himself home and to-vomit*
ἐπηνάγκασεν, ἔπειτα ῥυῆναι φλέβα διατεμὼν τὸ πολὺ τοῦ
*compelled then to-flow a-vein having-cut the much of-the*
αἵματος ἐποίησεν, οὐδὲν ἂν ἐκώλυσεν ἀνεπαισθήτῳ
*blood he-made nothing — would-have-prevented by-unperceived*
με τῷ θανάτῳ διαφθαρέντα ἀπολωλέναι. οἷα γὰρ
*me the death having-been-destroyed to-have-perished what-things for*
οἱ λακκόπλουτοι εἰργάσαντό με ἄλλος ἄλλοθεν περιττὰ
*the cistern-rich did-to me other from-elsewhere excessive*
πίνειν καὶ πλείω ἢ κατὰ τὸ κύτος τῆς γαστρὸς ἐσθίειν
*to-drink and more than according-to the capacity of-the belly to-eat*
ἀναγκάζοντες. ὁ μὲν γὰρ ἀλλᾶντα ἐνέσαττεν, ὁ δὲ
*compelling the-one indeed for a-sausage stuffed-in the-other and*
κόπαιον εὐμέγεθες παρώθει ταῖς γνάθοις, ὁ δὲ κρᾶμα,
*a-pounded-cake huge pushed-into the jaws the-other and a-mixture*
οὐκ οἶνον, ἀλλὰ νᾶπυ καὶ γάρον καὶ ὄξος ὀργασάμενος,
*not wine but mustard and fish-sauce and vinegar having-kneaded*

καθάπερ εἰς πίθον ἐνέχει. αὐτίκα λέβητας πιθάκνας ἀμίδας
*as into a-jar pours-in at-once cauldrons jars chamber-pots*
ἐμῶν ἀπεπλήρωσα, ὥστε αὐτὸν τὸν Ἀκεσίλαον θαυμάζειν
*vomiting I-filled so-that himself — Acesilaus to-wonder*
ποῦ καὶ τίνα τρόπον ἐχώρησε τοσοῦτον τὸ σῶμα βρωμάτων
*where and in-what way held so-much the body of-foods*
φορυτόν. ἀλλ᾽ ἐπειδὴ θεοὶ σωτῆρες καὶ ἀλεξίκακοι προύπτου
*sweepings but since gods saviors and averters-of-evil from-manifest*
με κινδύνου φανερῶς ἐξείλοντο, ἐπ᾽ ἐργασίαν τρέψομαι
*me danger clearly have-rescued to work I-will-turn*
καὶ Πειραιοῖ τὰ ἐκ τῶν νεῶν φορτία ἐπὶ τὰς ἀποθήκας
*and at-Piraeus the from the ships cargoes to the warehouses*
μισθοῦ μεταθήσω. ἄμεινον γὰρ ἐπὶ θύμοις καὶ ἀλφίτοις
*for-pay I-will-carry better for on thyme and barley-meal*
διαβόσκειν τὴν γαστέρα, ὡμολογημένην ἔχοντα τὴν τοῦ
*to-feed the belly agreed having the of-the*
ζῆν ἀσφάλειαν, ἢ πεμμάτων ἀπολαύοντα καὶ φασιανῶν
*to-live safety than cakes enjoying and pheasant*
ὀρνίθων τὸν ἄδηλον ὁσημέραι θάνατον ἀπεκδέχεσθαι.
*birds the unseen daily death to-await*

8

## Οἰνοπνίκτης Κοτυλοβροχθίσῳ

*Oenopnictes to-Cotylobrochthisus*

Ἴθι λαβὼν τὴν σύριγγα καὶ τὰ κύμβαλα ἧκε περὶ πρώτην
*come having-taken the pipe and the cymbals come about first*
φυλακὴν τῆς νυκτὸς ἐπὶ τὸν χρυσοῦν στενωπὸν τὸν ἐπὶ
*watch of-the night to the golden alley the-one by*
τὴν ἄγνον, ἔνθα συμβαλεῖν ἡμῖν ἐξέσται καὶ τὸ ἐντεῦθεν
*the chaste-tree where to-meet for-us it-will-be-possible and the from-there*

ἀπὸ Σκίρου λαβοῦσι Κλυμένην τὴν ἑταίραν ἀγαγεῖν παρὰ
*from Scirus having-taken Clymene the courtesan to-bring to*
τὸν νεόπλουτον Θηριππίδην τὸν Αἰξωνέα. διακαῶς δὲ
*the newly-rich Therippides the Aexonian burningly and*
αὐτῆς οὗτος ἐρᾷ πολὺς ἐξ οὗ χρόνος, καὶ δαπανᾶται οὐκ
*her this-one loves much since which time and spends not*
ὀλίγα μάτην. ᾐσθημένη γὰρ τὸν ἔρωτα ἐκκεκαυμένον τοῦ
*little in-vain having-perceived for the love inflamed of-the*
μειρακίου, θρύπτεται καὶ συνεχῶς ἀκκίζεται, καὶ πλείονα
*youth she-gives-herself-airs and continually is-coy and more*
ἐπὶ πλείοσιν ἀποφερομένη οὔ φησιν ἑαυτὴν ἐπιδώσειν, εἰ
*upon more carrying-off not she-says herself to-be-going-to-give if*
μὴ τὸ χωρίον πρὸς τοῖς ἀργυρίοις λάβοι. ὥρα οὖν καὶ
*not the farm besides the moneys he-should-get time then also*
βίᾳ ταύτην, εἰ συνήθως ἀντιτείνοιτο ἡμῖν, ἀποσπᾶν. δύο
*by-force her if as-usual she-should-resist us to-drag-away two*
δὲ ὄντε καὶ ἐρρωμένω τάχιστα αὐτὴν καὶ ἄκουσαν ἀπάξαι
*and being also strong very-quickly her even unwilling to-carry-off*
δυνησόμεθα. Θηριππίδης δὲ εἰ τοῦτο αἴσθοιτο καὶ τοὔργον
*we-shall-be-able Therippides and if this should-perceive and the-deed*
ἐπιγνοίη τῆς ἡμετέρας ἀγρυπνίας κατόρθωμα, ληψόμεθα
*should-recognize of-the our wakefulness a-success we-shall-receive*
χρυσοῦς τοῦ νέου κόμματος οὐκ ὀλίγους καὶ λαμπρὰν ἐσθῆτα,
*gold-pieces of-the new coinage not few and splendid clothing*
καὶ προσέτι τὴν οἰκίαν εἰσιέναι ἐπ᾽ ἀδείας ἕξομεν καὶ
*and besides the house to-enter in security we-shall-have and*
χρῆσθαι τὸ λοιπὸν ἀνεπικωλύτως. τάχα δὲ οὐδὲ παρασίτους
*to-use-(it) the rest unhindered perhaps and not-even parasites*
ἡμᾶς ἀλλὰ φίλους ἡγήσεται. οἱ γὰρ παράκλησιν εἰς εὐποιίαν
*us but friends he-will-consider those for exhortation to beneficence*
μὴ ἀναμείναντες οὐκέτι κόλακες ἀλλὰ φίλοι λογίζονται.
*not having-waited-for no-longer flatterers but friends are-reckoned*

9

Ἀποπειρώμενος τῶν σκυλακίων εἰ λοιπὸν ἐπιτήδεια
*testing the puppies whether now fit*
κατὰ δρόμον, λαγωὸν ἔν τινι θάμνῳ διαστροβήσας ἐξαίφνης
*at running a-hare in some bush having-beaten-about suddenly*
ἀνέστησα, τὰ δὲ σκυλάκια οὑμοὶ υἱεῖς ἐκ τῶν ἱμαντίων
*I-started the and puppies my sons from the leashes*
ἀπέλυσαν. καὶ τὰ μὲν ἐθορύβει καὶ ἐγγὺς ἦν ἑλεῖν
*loosed and they indeed were-in-uproar and near were to-take*
τὸ θηρίον, ὁ λαγωὸς δὲ τοῦ κινδύνου φυγῇ ὑπερβὰς
*the beast the hare and the danger by-flight having-passed-over*
τὸ σιμὸν φωλεοῦ τινος κατάδυσιν εὕρετο. μία δὲ ἡ
*the rise of-a-burrow some entrance found one and the*
προθυμοτέρα τῶν κυνῶν ἤδη περικεχηνυῖα καὶ ψαῦσαι
*keener of-the dogs already gaping-round and to-touch*
προσδοκῶσα τῷ δήγματι συγκατῆλθεν εἰς τὴν ὀπὴν τῆς
*expecting with-the bite went-down-with into the hole of-the*
γῆς· ἐντεῦθεν ἀνελκύσαι βιαζομένη τὸ λαγῴδιον, καὶ θραύει
*earth thence to-drag-up forcing the leveret also breaks*
τοῖν προσθίοιν ποδοῖν τὸν ἕτερον. καὶ ἀνειλόμην χωλεύουσαν
*of-the two-front two-feet the one and I-took-up limping*
σκύλακα ἀγαθὴν καὶ τὸ ζῷον ἡμίβρωτον, καὶ γέγονέ μοι
*puppy good and the creature half-eaten and it-has-happened to-me*
κέρδους ἐφιεμένῳ λυπροῦ ζημίαν μεγάλην ἀπενέγκασθαι.
*of-gain aiming paltry loss great to-carry-off*

10

## Ἰοφῶν Ἐράστωνι

*Iophon to-Eraston*

Ἐπιτριβείη καὶ κακὸς κακῶς ἀπόλοιτο ὁ κάκιστος
*may-he-be-crushed and bad badly may-he-perish the worst*
ἀλεκτρυὼν καὶ μιαρώτατος, ὅς με ἡδὺν ὄνειρον θεώμενον
*cock and most-foul who me sweet dream seeing*
ἀναβοήσας ἐξήγειρεν. ἐδόκουν γάρ, ὦ φίλτατε γειτόνων,
*having-crowed woke-up I-seemed for O dearest of-neighbors*
λαμπρός τις εἶναι καὶ βαθύπλουτος, εἶτα οἰκετῶν ἐφέπεσθαί
*splendid some to-be and very-rich then of-servants to-follow*
μοι στῖφος, οὓς οἰκονόμους καὶ διοικητὰς ἐνόμιζον ἔχειν.
*me a-throng whom stewards and managers I-thought to-have*
ἐῴκειν δὲ καὶ τὼ χεῖρε δακτυλίων πεπληρῶσθαι καὶ
*I-seemed and also the-two hands with-rings to-have-been-filled and*
πολυταλάντους λίθους περιφέρειν· καὶ ἦσαν οἱ δάκτυλοί
*many-talented stones to-carry-about and were the fingers*
μου μαλακοὶ καὶ ἥκιστα τῆς δικέλλης ἐμέμνηντο.
*my soft and least the two-pronged-hoe remembered*
ἐφαίνοντο δὲ καὶ οἱ κόλακες ἐγγύθεν, Γρυλλίωνα
*appeared and also the flatterers near Gryllion*
εἶπες ἂν καὶ Παταικίωνα, παρεστάναι. ἐν τούτῳ
*you-would-have-said — and Pataecion to-stand-by in this*
δὴ καὶ ὁ δῆμος Ἀθηναίων εἰς τὸ θέατρον προσελθόντες
*indeed also the people of-Athenians to the theater having-come*
ἐβόων προχειρίσασθαί με στρατηγόν. μεσούσης δὲ
*shouted to-elect me general being-in-the-middle and*
τῆς χειροτονίας ὁ παμπόνηρος ἀλεκτρυὼν ἀνεβόησε καὶ
*the vote the all-wicked cock crowed and*
τὸ φάσμα ἠφανίσθη. ὅμως ἀνεγειρόμενος περιχαρ�ὴς ἦν
*the vision vanished nevertheless waking-up overjoyed was*

ἐγώ, ἐνθύμιον δὲ ποιησάμενος τοὺς φυλλοχόους ἑστάναι
*I consideration and having-made the leaf-shedding to-stand*
μῆνας ἔγνων εἶναι τὰ ἐνύπνια ψευδέστατα.
*months I-recognized to-be the dreams most-false*

11

## Δρυαντίδας Χρονίῳ

*Dryantidas to-Chronion*

Οὐκέτι σοι μέλει οὔτε τῆς εὐνῆς ἡμῶν οὔτε τῶν
*no-longer to-you is-there-concern neither of-the bed our nor of-the*
κοινῶν παιδίων οὔτε μὴν τῆς κατ᾽ ἀγρὸν διατριβῆς, ὅλη
*common children nor indeed of-the in country life wholly*
δὲ εἶ τοῦ ἄστεος, Πανὶ μὲν καὶ Νύμφαις ἀπεχθανομένη,
*but you-are of-the town to-Pan indeed and Nymphs becoming-hateful*
ἃς ἐπιμηλίδας ἐκάλεις καὶ δρυάδας καὶ ναΐδας, καινοὺς δὲ
*whom flock-nymphs you-called and dryads and naiads new but*
ἡμῖν ἐπεισάγουσα θεοὺς πρὸς πολλοῖς τοῖς προϋπάρχουσι.
*to-us bringing-in gods to many the already-existing*
ποῦ γὰρ ἐγὼ κατ᾽ ἀγρὸν ἱδρύσω Κωλιάδας ἢ Γενετυλλίδας;
*where for I in country shall-I-set-up Coliads or Genetyllides*
οἶδ᾽ ἀκούσας ἄλλα τινὰ δαιμόνων ὀνόματα, ὧν διὰ
*I-know having-heard other some of-spirits names of-which because-of*
τὸ πλῆθος ἀπώλισθέ μου τῆς μνήμης τὰ πλείονα. οὐ
*the number slipped-away from-my the memory the most not*
σωφρονεῖς ὡς ἔοικεν, ὦ γύναι, οὐδὲ ὑγιές τι διανοῇ.
*you-are-sensible as it-seems O wife nor sound anything you-think*
ἀλλὰ ἀμιλλᾷ ἐν ταῖς ἀστικαῖς ταυταισὶ ταῖς ὑπὸ τρυφῆς
*but you-compete with the town these the by luxury*
διαρρεούσαις, ὧν καὶ τὸ πρόσωπον ἐπίπλαστον καὶ ὁ
*dissolving whose both the face plastered and the*

τρόπος μοχθηρίας ὑπεργέμων· φύκει γὰρ καὶ ψιμυθίῳ
*character of-wickedness overfull with-rouge for and with-white-lead*
καὶ παιδέρωτι δευσοποιοῦσι τὰς παρειὰς ὑπὲρ τοὺς δεινοὺς
*and with-paederos they-stain the cheeks beyond the clever*
τῶν ζωγράφων. σὺ δὲ ἢν ὑγιαίνῃς, ὁποίαν σε τὸ ὕδωρ
*of-the painters you but if you-are-sound of-what-sort you the water*
ἢ τὸ ῥύμμα τὸ πρὶν ἐκάθηρε, τοιαύτη διαμενεῖς.
*or the soap the before cleansed such you-will-remain*

12

## Πρατίνας Ἐπιγόνῳ

*Pratinas to-Epigonus*

Μεσημβρίας οὔσης σταθερᾶς φιλήνεμόν τινα ἐπιλεξάμενος
*noon being steady a-breeze-loving some having-chosen*
πίτυν ὑπὸ ταύτῃ τὸ καῦμα ἐσκίαζον. καί μοι ψυχάζοντι
*pine under it the heat I-was-shading and to-me cooling-off*
μάλ' ἡδέως ἐπῆλθέ τι καὶ μουσικῆς ἐπαφήσασθαι, καὶ
*very pleasantly came something also on-music to-touch and*
λαβὼν τὴν σύριγγα ἐπέτρεχον τῇ γλώττῃ στενὸν τὸ
*having-taken the pipe I-ran-over with-the tongue narrow the*
πνεῦμα μετὰ τῶν χειλέων ἐπισύρων, καί μου ἡδύ τι
*breath with the lips drawing-along and from-me sweet something*
καὶ νόμιον ἐξηκούετο μέλος. ἐν τούτῳ δὲ οὐκ οἶδ' ὅπως
*and pastoral was-heard tune in this and not I-know how*
ὑπὸ τῆς ἡδυφωνίας θελγόμεναι πᾶσαί μοι πανταχόθεν αἱ
*by the sweet-voice enchanted all to-me from-everywhere the*
αἶγες περιεχύθησαν, καὶ ἀφεῖσαι νέμεσθαι τοὺς κομάρους
*goats poured-round and having-left-off to-graze the arbutus*
καὶ τὸν ἀνθέρικον ὅλαι τοῦ μέλους ἐγίνοντο. ἐγὼ δὲ ἐν
*and the asphodel wholly of-the tune became I and in*

μέσαις ταῖς νομαῖς ἐμμούμην τὸν παῖδα τῆς Καλλιόπης.
*the-middle the pastures was-imitating the son — of-Calliope*
ταῦτά σε οὖν εὐαγγελίζομαι, φίλον ἄνδρα συνειδέναι
*these-things you then I-bring-as-good-news a-friend man to-share-the-knowledge*
βουλόμενος ὅτι μοι μουσικόν ἐστιν τὸ αἰπόλιον.
*wishing that for-me musical is the goat-flock*

13

## Καλλικράτης Αἴγωνι

*Callicrates to-Aegon*

Ἐγὼ μὲν ἥκοντος τοῦ καιροῦ γύρους περισκάψας καὶ
*I indeed having-come the season circles having-dug-round and*
ἐμβαθύνας βόθρια οἷός τε ἦμην ἐλάδια ἐμφυτεύειν καὶ
*having-deepened little-pits able — I-was olive-shoots to-plant and*
ἐπάγειν αὐτοῖς ναματιαῖον ὕδωρ, ὅ μοι ἐκ τῆς
*to-bring-on to-them spring water which for-me from the*
πλησίον φάραγγος ἐποχετεύεται. ἐπελθὼν δὲ ὄμβρος ἐς
*near ravine is-channeled having-come and rain for*
τρεῖς ἡμέρας καὶ νύκτας ἴσας ποταμοὺς ἄνωθεν ἐκ τῆς
*three days and nights equal rivers from-above from the*
ἀκρωρείας τῶν ὀρῶν ἐγέννησεν, οἳ ῥύμῃ κατασυρόμενοι
*ridge of-the mountains begot which with-force being-swept-down*
ἰλὺν ἐπεσπάσαντο καὶ τοὺς βόθρους κατέχωσαν, ὥστε
*mud drew-on and the pits filled-up so-that*
εἶναι πάντα ἰσόπεδα καὶ οὐδὲ δοκεῖν ὅλως εἰργασμένα.
*to-be all level and not-even to-seem at-all worked*
οὕτως ἠφάνισταί μοι τὰ πονήματα καὶ εἰς μίαν ὄψιν
*so has-vanished for-me the labors and into one appearance*
ἄτοπον κατέστη. τίς ἂν οὖν ἔτι πονοίη, μάτην
*strange has-turned who — then any-more would-labor in-vain*

ἀδήλους ἐλπίδας ἐκ γεωργίας παραδοκῶν; μετιτέον
*uncertain hopes from farming expecting it-must-be-gone*
μοι ἐφ᾽ ἕτερον βίον. φασὶ γὰρ ἅμα ταῖς τῶν
*for-me to another life they-say for at-the-same-time with-the of-the*
ἐπιτηδευμάτων ἀλλαγαῖς καὶ τὰς τύχας μετασχηματίζεσθαι.
*pursuits changes also the fortunes to-change-shape*

14

## Σιτάλκης Οἰνοπίωνι

*Sitalces to-Oenopion*

Εἰ πατρώζεις, ὦ παῖ, καὶ τἀμὰ φρονεῖς, χαίρειν
*if you-take-after-your-father O son and my-thoughts think to-bid-farewell*
τοὺς ἀλαζόνας ἐκείνους τοὺς ἀνυποδήτους καὶ ὠχριῶντας,
*the boasters those the barefoot and pale*
οἳ περὶ τὴν Ἀκαδήμειαν ἀλινδοῦνται, καὶ βιωφελὲς μὲν
*who about the Academy roll-about and useful-for-life indeed*
οὐδὲν οὔτε εἰδότας οὔτε πράττειν δυναμένους, τὰ μετέωρα
*nothing neither knowing nor to-do being-able the heavenly-things*
δὲ πολυπραγμονεῖν ἐπιτηδεύοντας, ἐάσας ἔχου τῶν κατ᾽
*but to-busy-themselves-with practicing having-let-go hold-to the in*
ἀγρὸν ἔργων, ἀφ᾽ ὧν σοι διαπονοῦντι μεστὴ μὲν ἡ
*country works from which for-you laboring full indeed the*
σιπύη πανσπερμίας, οἱ δὲ ἀμφορεῖς οἴνου γέμοντες,
*meal-tub of-all-seeds the and jars with-wine teeming*
πλέα δὲ ἀγαθῶν τὰ σύμπαντα.
*full and of-goods the whole*

*Farmers borrow baskets, send honey and limed thrushes, and invite a neighbor to a birthday feast. A mother begs her son to leave soldiering, a wife scolds a graying husband idling in town, and a youth longs to see the city. One man curses a pipe-girl who made him oversleep, another has caught a thief and waits for help, and others lose a cloak to a thief, a goat to a wolf, a flock to a gluttonous slave, and the mistress's lap-dog to a fox-trap, so that its keeper flees his harsh master; others describe a juggler, a hangover, and a rustic neighbor turned winning litigant. Gemellus threatens the slave-girl Salmonis, who would rather hang than sleep with him; Anthylla scolds an old husband in love with a lyre-singer; and Gnathon, a parasite, asks to be hired on a farm.*

15

## Κότινος Τρυγοδώρῳ

*Cotinus to-Trygodorus*

Ὁ τρυγητὸς ἐγγὺς καὶ ἀρρίχων ἔστι μοι χρεία. δάνεισον
*the vintage near and of-baskets there-is to-me need lend*
οὖν μοι τούτων τοὺς περιττούς, ὅσον οὐκ εἰς μακρὰν
*then to-me of-these the spare all but to long*
ἀποδώσοντι *** ἔχω οὖν ἐγὼ πιθάκνια πλείονα. εἰ οὖν
*to-be-going-to-repay (lacuna) I-have then I little-jars several if then*
δέοιο, προθύμως λάμβανε. τὸ γὰρ κοινὰ τὰ τῶν
*you-should-need eagerly take the for common the-things of-the*
φίλων οὐχ ἥκιστα τοῖς ἀγροῖς ἐμφιλοχωρεῖν ὀφείλει.
*friends not least in-the fields to-dwell-fondly ought*

16

## Φυλλὶς Θρασωνίδῃ

*Phyllis to-Thrasonides*

Εἰ γεωργεῖν ἐβούλου καὶ νοῦν ἔχειν, ὦ Θρασωνίδη, καὶ
*if to-farm you-wished and sense to-have O Thrasonides and*
τῷ πατρὶ πείθεσθαι, ἔφερες ἂν καὶ τοῖς θεοῖς κιττὸν
*the father to-obey you-would-bring — both to-the gods ivy*
καὶ δάφνας καὶ μυρρίνας καὶ ἄνθη ὅσα σύγκαιρα, καὶ
*and laurels and myrtles and flowers as-many-as in-season and*
ἡμῖν τοῖς γονεῦσι πυροὺς ἐκθερίσας καὶ οἶνον ἐκ βοτρύων
*to-us the parents wheat having-reaped and wine from grapes*
ἀποθλίψας καὶ βδάλας τὰ αἰγίδια τὸν γαυλὸν πλήρη
*having-pressed and having-milked the little-goats the milk-pail full*
γάλακτος· νῦν δὲ ἀγροὺς καὶ γεωργίαν ἀπαναίνῃ, κράνους
*of-milk now but fields and farming you-reject of-helmet*
δὲ ἐπαινεῖς τριλοφίαν καὶ ἀσπίδος ἐρᾷς, ὥσπερ τις Ἀκαρνὰν
*and you-praise the-triple-crest and a-shield you-love like some Acarnanian*
ἢ Μαλιεὺς μισθοφόρος. μή σύγε, ὦ παιδίον, ἀλλ' ἐπάνιθι
*or Malian mercenary not you-at-least O child but come-back*
ὡς ἡμᾶς καὶ τὸν ἐν ἡσυχίᾳ βίον ἀσπάζου (καὶ γὰρ ἀσφαλὴς
*to us and the in quiet life embrace and for safe*
καὶ ἀκίνδυνος ἡ γεωργία, οὐ λόχους, οὐκ ἐνέδρας, οὐ
*and dangerless the farming not ambushes not traps not*
φάλαγγας ἔχουσα) ἡμῖν τε ὁ γηροκόμος γενοῦ, ἀντὶ τῆς
*phalanxes having to-us both the nurse-of-old-age become instead-of the*
ἐν ἀμφιβόλῳ ζωῆς τὴν ὁμολογουμένην ἑλόμενος σωτηρίαν.
*in doubt life the agreed having-chosen safety*

17

## Χαιρέστρατος Λειριόνῃ

*Chaerestratus to-Leirione*

Ἐπιτριβείης, ὦ Λειριόνη, κακὴ κακῶς ὅτι με τῇ μέθῃ
*may-you-be-crushed O Leirione bad badly because me with-the drunkenness*
καὶ τοῖς αὐλοῖς κατακοιμήσασα βραδὺν ἀπέφηνας τοῖς ἐκ
*and the pipes having-lulled-to-sleep late you-made to-those from*
τῶν ἀγρῶν ἀποπέμψασιν. οἱ μὲν γὰρ ἕωθεν προσεδόκων
*the fields having-sent-(me) they indeed for from-dawn expected*
με φέροντα αὐτοῖς τὰ κεράμεια σκεύη, ὧν ἕνεκεν
*me bringing to-them the earthen vessels for-which sake*
ἀφικόμην· ἐγὼ δὲ ὁ χρυσοῦς πάννυχος καταυλούμενος
*I-came I and the golden all-night piped-to*
εἰς ἡμέραν ἐκάθευδον. ἀλλ᾽ ἄπιθι, ὦ τάλαινα, καὶ τοὺς
*till day slept but go-away O wretch and the*
ἀθλίους τουτουσὶ θέλγε τοῖς γοητεύμασιν. ἐμοὶ γὰρ εἰ ἔτι
*wretches these-here charm with-the sorceries me for if still*
ἐνοχλοίης, κακόν τι παμμέγεθες προσλαβοῦσα ἀπελεύσῃ.
*you-should-trouble evil some very-great having-got you-will-go-away*

18

## Εὔσταχυς Πιθακίωνι

*Eustachys to-Pithacion*

Τοὐμοῦ παιδίου γενέσια ἑορτάζων ἥκειν σε ἐπὶ τὴν
*of-my little-son birthday celebrating to-come you to the*
πανδαισίαν, ὦ Πιθακίων, παρακαλῶ, ἥκειν δὲ οὐ μόνον ἀλλ᾽
*feast O Pithacion I-invite to-come but not alone but*
ἐπαγόμενον τὴν γυναῖκα καὶ τὰ παιδία καὶ τὸν σύργαστρον·
*bringing the wife and the children and the farmhand*

εἰ βούλοιο δέ, καὶ τὴν κύνα, ἀγαθὴν οὖσαν φύλακα καὶ τῷ
*if you-wish and also the dog good being guard and with-the*
βάρει τῆς ὑλακῆς ἀποσοβοῦσαν τοὺς ἐπιβουλεύοντας τοῖς
*weight of-the barking scaring-off those plotting-against the*
ποιμνίοις. ἡ δὲ τοιαύτη οὐκ ἂν ἀτιμάζοιτο δαιτυμὼν
*flocks the and such not — would-be-dishonored a-fellow-banqueter*
εἶναι σὺν ἡμῖν. ἑορτάσομεν δ' ἅμα μάλ' ἡδέως, καὶ
*to-be with us we-will-feast and together very pleasantly and*
πιόμεθα εἰς μέθην καὶ μετὰ τὸν κόρον ᾄσόμεθα, καὶ ὅστις
*we-will-drink to drunkenness and after the satiety we-will-sing and whoever*
ἐπιτήδειος κορδακίζειν, εἰς μέσους παρελθὼν τὸ κοινὸν
*suited to-dance-the-cordax into the-midst having-come-forward the company*
ψυχαγωγήσει. μὴ μέλλε οὖν, ὦ φίλτατε. καλὸν γὰρ ἐν ταῖς
*will-entertain not delay then O dearest fine for in the*
κατ' εὐχὰς ἑορταῖς ἐξ ἑωθινοῦ συντάττειν τὰ συμπόσια.
*according-to prayers feasts from dawn to-arrange the drinking-parties*

19

## Πιθακίων Εὐστάχυι

*Pithacion to-Eustachys*

Κοινωνικὸς ὢν καὶ φιλέταιρος ὄναιο σαυτοῦ καὶ τῆς
*sociable being and friendly may-you-have-joy of-yourself and of-the*
γυναικὸς καὶ τῶν παιδίων, ὦ Εὔσταχυ. ἐγὼ δὲ τὸν κλῶπα
*wife and of-the children O Eustachys I but the thief*
φωράσας, ἐφ' ᾧ πάλαι ἤσχαλλον τὴν ἐχέτλην ὑφελομένῳ
*having-caught at whom long-since I-was-vexed the plow-handle having-stolen*
καὶ δύο δρεπάνας; ἔχω παρ' ἐμαυτῷ τοὺς κωμήτας
*and two sickles I-have with myself the villagers*
ἀναμένων ἐπικούρους. νῦν γὰρ οὐκ ἐδοκίμαζον ἀσθενέστερος
*awaiting as-helpers now for not I-thought-fit weaker*

ὢν καὶ μόνος τὼ χεῖρε ἐπιβάλλειν αὐτῷ. ὁ μὲν γὰρ
*being and alone the-two hands to-lay on-him he indeed for*
δριμὺ βλέπει καὶ τοξοποιεῖ τὰς ὀφρῦς καὶ σφριγῶντας ἔχει
*sharply looks and arches the brows and swelling has*
τοὺς ὤμους καὶ ἁδρὰν τὴν ἐπιγουνίδα φαίνει· ἐγὼ δὲ ὑπὸ
*the shoulders and stout the thigh shows I but by*
τῶν πόνων καὶ τῆς δικέλλης κατέσκληκα, καὶ τύλους μὲν
*the toils and the hoe have-withered and calluses indeed*
ἐν ταῖς χερσὶν ἔχω, λεπτότερον δέ μοι τὸ δέρμα λεβηρίδος.
*on the hands I-have thinner and to-me the skin than-a-slough*
ἡ μὲν οὖν γυνὴ καὶ τὰ παιδία εἰς σὲ βαδιοῦνται καὶ
*the indeed then wife and the children to you will-go and*
τῆς εὐωχίας μεθέξουσιν, ὁ δὲ σύργαστρος μαλακῶς ἔχει
*in-the feast will-share the and farmband ill is*
τὰ νῦν. ἐγὼ δὲ καὶ ἡ κύων τὸν μιαρὸν οἴκοι φυλάξομεν.
*the now I but and the dog the scoundrel at-home will-guard*

20

## Ναπαῖος Κρηνιάδῃ

*Napaeus to-Creniades*

Οἶσθά με ἐπισάξαντα τὴν ὄνον παλάθια *** καταγαγόντα
*you-know me having-loaded the donkey with-fig-cakes (lacuna) having-brought-down*
οὖν, ἕως οὗ ταῦτα ἀπεδόμην τῶν τινι γνωρίμων ἄγει
*then until which-time these I-sold of-the to-one acquaintances leads*
μέ τις λαβὼν εἰς τὸ θέατρον καὶ καθίσας ἐν καλῷ
*me someone having-taken into the theater and having-seated in a-good-place*
διαφόροις ἐψυχαγώγει θεωρίαις. τὰς μὲν οὖν ἄλλας οὐ
*with-various entertained spectacles the indeed then others not*
συνέχω τῇ μνήμῃ, εἰμὶ γὰρ τὰ τοιαῦτα καὶ εἰδέναι καὶ
*I-hold in-the memory I-am for the such-things both to-know and*

ἀπαγγέλλειν κακός· ἢν δὲ ἰδὼν ἀχανὴς ἐγώ σοι καὶ μικροῦ
*to-report bad one but having-seen agape I to-you and by-little*
δεῖν ἄναυδος. εἷς γάρ τις εἰς μέσους παρελθὼν καὶ
*to-want speechless one for a-certain into the-middle having-come-forward and*
στήσας τρίποδα τρεῖς μικρὰς ἐπετίθει παροψίδας, εἶτα ὑπὸ
*having-set-up a-tripod three small placed dishes then under*
ταύταις ἔσκεπε λευκά τινα καὶ μικρὰ καὶ στρογγύλα λιθίδια,
*these he-covered white some and small and round pebbles*
οἷα ἡμεῖς ἐπὶ ταῖς ὄχθαις τῶν χειμάρρων ἀνευρίσκομεν·
*such-as we on the banks of-the torrents find*
ταῦτα ποτὲ μὲν κατὰ μίαν ἔσκεπε παροψίδα, ποτὲ δὲ οὐκ
*these at-times indeed by one he-covered dish at-times and not*
οἶδ' ὅπως ὑπὸ τῇ μιᾷ ἐδείκνυ, ποτὲ δὲ παντελῶς ἀπὸ τῶν
*I-know how under the one he-showed at-times but completely from the*
παροψίδων ἠφάνιζε καὶ ἐπὶ τοῦ στόματος ἔφαινεν. εἶτα
*dishes made-vanish and on the mouth showed then*
καταβροχθίσας, τοὺς πλησίον ἑστῶτας ἄγων εἰς μέσον τὴν
*having-gulped-down those near standing leading into the-middle the-one*
μὲν ἐκ ῥινὸς τὴν δὲ ἐξ ὠτίου τὴν δὲ ἐκ κεφαλῆς
*indeed from nose the-other and from ear the-other and from head*
ἀνῃρεῖτο, καὶ πάλιν ἀνελόμενος ἐξ ὀφθαλμῶν ἐποίει.
*he-took-out and again having-taken-up from eyes made*
κλεπτίστατος ἄνθρωπος ὑπὲρ ὃν ἀκούομεν Εὐρυβάτην
*most-thievish man beyond whom we-hear Eurybates*
τὸν Οἰχαλιέα. μὴ γένοιτο κατ' ἀγρὸν τοιοῦτον θηρίον·
*the Oechalian not may-there-be in country such beast*
οὐ γὰρ ἁλώσεται ὑπ' οὐδενὸς καὶ πάντα ὑφαιρούμενος
*not for he-will-be-caught by no-one and everything stealing*
τἄνδον φροῦδά μοι τὰ κατ' ἀγρὸν ἀπεργάσεται.
*the-things-inside gone for-me the in country he-will-make*

21

## Εὐνάπη Γλαύκῃ

*Eunape to-Glauce*

Ὁ μὲν ἀνὴρ ἀπόδημός ἐστί μοι τρίτην ταύτην
*the indeed husband abroad is for-me third this*
ἡμέραν ἔχων ἐν ἄστει, ὁ δὲ θητεύων παρ' ἡμῖν
*day having in town the and working-for-hire with us*
Παρμένων ζημία καθαρά, ῥᾴθυμος ἄνθρωπος καὶ τὰ πολλὰ
*Parmenon a-loss pure lazy man and the most*
καταπίπτων εἰς ὕπνον. ὁ δὲ λύκος ἀργαλέος πάροικος
*falling into sleep the and wolf troublesome neighbor*
καὶ βλέπων φονῶδές τι καὶ αἱμοβόρον· Χιόνην γὰρ
*and looking murderous something and bloodthirsty Chione for*
τὴν καλλιστεύουσαν τῶν αἰγῶν ἐκ τοῦ φελλέως ἁρπάσας
*the most-beautiful of-the goats from the stony-ground having-snatched*
οἴχεται· καὶ ὁ μὲν δειπνεῖ ἀγαθὴν αἶγα καὶ εὐγάλακτον,
*is-gone and he indeed dines-on good goat and milk-rich*
ἐγὼ δὲ δάκρυα τῶν ὀφθαλμῶν ἀπολείβω. πέπυσται δὲ
*I and tears from-the eyes pour has-learned and*
τούτων οὐδὲν ὁ ἀνήρ· εἰ δὲ μάθοι, κρεμήσεται μὲν ἐκ
*of-these nothing the husband if but he-should-learn will-hang indeed from*
τῆς πλησίον πίτυος ὁ μισθωτός, αὐτὸς δὲ οὐ πρότερον
*the near pine the hireling himself and not sooner*
ἀνήσει πρὶν τὰς παρὰ τοῦ λύκου δίκας εἰσπράξασθαι.
*he-will-let-go before the from the wolf penalty to-exact*

22

## Πολύαλσος Εὐσταφύλῳ

*Polyalsus to-Eustaphylus*

Πάγην ἔστησα ἐπὶ τὰς μιαρὰς ἀλώπεκας κρεάδιον
*a-trap I-set for the foul foxes a-bit-of-meat*
τῆς σκανδάλης ἀπαρτήσας. ἐπεὶ γὰρ ἐπολέμουν τὰς
*from-the trap-stick having-hung since for they-were-warring-on the*
σταφυλάς, καὶ οὐ μόνον τὰς ῥᾶγας ἔκοπτον ἀλλ᾽ ἤδη
*grapes and not only the berries they-plucked but already*
καὶ ὁλοκλήρους ἀπέτεμνον τῶν οἰνάρων τοὺς βότρυς,
*also whole they-were-cutting-off from-the vines the clusters*
ὁ δεσπότης δὲ ἐπιστήσεσθαι κατηγγέλλετο, ἀργαλέος
*the master and to-be-going-to-arrive was-announced troublesome*
ἄνθρωπος καὶ δριμύς, γνωμίδια καὶ προβουλευμάτια συνεχῶς
*man and harsh little-maxims and little-decrees continually*
ἐπὶ τῆς πνυκὸς Ἀθηναίοις εἰσηγούμενος καὶ πολλοὺς ἤδη
*on the pnyx to-Athenians proposing and many already*
διὰ σκαιότητα τρόπου καὶ δεινότητα ῥημάτων ἐπὶ τοὺς
*because-of boorishness of-manner and cleverness of-words to the*
ἕνδεκα ἀγαγών, δείσας μή τι πάθοιμι κἀγὼ καὶ
*eleven having-brought fearing lest anything I-might-suffer and-I and*
ταῦτα τοιούτου τοῦ δεσπότου ὄντος, τὴν κλέπτιν ἀλώπεκα
*that such the master being the thieving fox*
συλλαβὼν ἐβουλόμην παραδοῦναι. ἀλλ᾽ ἡ μὲν οὐχ ἥκε·
*having-caught I-wished to-hand-over but she indeed not came*
Πλαγγὼν δὲ τὸ Μελιταῖον κυνίδιον, ὃ τρέφομεν ἄθυρμα
*Plangon and the Maltese little-dog which we-keep a-plaything*
τῇ δεσποίνῃ προσηνές, ὑπὸ τῆς ἄγαν λιχνείας ἐπὶ τὸ κρέας
*for-the mistress gentle by the excessive greed to the meat*
ὁρμῆσαν κεῖταί σοι τρίτην ταύτην ἡμέραν ἐκτάδην νεκρὸν
*having-rushed lies for-you third this day stretched-out dead*

ἤδη μυδῆσαν. ἔλαθον οὖν ἐπὶ κακῷ κακὸν ἀναρριπίσας.
*already rotting I-unwittingly then on evil evil having-fanned-up*
καὶ τίς παρ᾽ ἀνθρώπῳ σκυθρωπῷ τῶν τοιούτων συγγνώμη;
*and what with a-man sullen for-the such-things pardon*
φευξόμεθα ᾗ ποδῶν ἔχομεν, χαιρέτω δὲ ὁ ἀγρὸς
*we-will-flee as-fast-as of-feet we-have let-it-fare-well and the farm*
καὶ τἀμὰ πάντα. ὥρα γὰρ σώζειν ἐμαυτόν, καὶ μὴ
*and my-things all time for to-save myself and not*
παθεῖν ἀναμένειν ἀλλὰ πρὸ τοῦ παθεῖν φυλάξασθαι.
*to-suffer to-wait but before the to-suffer to-guard-against-(it)*

23

## Θάλλος Πιτυίστῳ

*Thallus to-Pityistes*

Πάντα φιλῶ τρυγᾶν· ἔστι γὰρ τὸ καρπῶν ἀποδρέπεσθαι
*everything I-love to-harvest is for the of-fruits to-pluck*
πόνων ἀμοιβὴ δίκαιος· ἐξαιρέτως δὲ ἐθέλω βλίττειν τὰ
*of-labors recompense just especially but I-wish to-take-honey-from the*
σμήνη. ἔχω οὖν, σίμβλα ὑπὸ τῇ πέτρᾳ ἀποκλάσας, κηρία
*swarms I-have then hives under the rock having-broken-off honeycombs*
νεογενῆ. πρῶτον μὲν οὖν τοῖς θεοῖς ἀπηρξάμην, ἔπειτα
*new-born first indeed then to-the gods I-offered-first-fruits then*
δὲ τοῖς φίλοις ὑμῖν ἀπάρχομαι. ἔστι δὲ λευκὰ ἰδεῖν καὶ
*and to-the friends to-you I-offer-first-fruits they-are and white to-see and*
ἀποστάζοντα λιβάδας Ἀττικοῦ μέλιτος, οἷον αἱ Βριλήσσιαι
*dripping drops of-Attic honey such-as the Brilessian*
λαγόνες ἐξανθοῦσι. καὶ νῦν μὲν ταῦτα πέμπομεν, εἰς νέωτα
*flanks bloom-with and now indeed these we-send for next-year*
δὲ δέχοιο παρ᾽ ἡμῶν μείζονα τουτωνὶ καὶ ἡδίονα.
*and may-you-receive from us greater than-these-here and sweeter*

24

## Φιλοποίμην Μοσχίωνι

*Philopoemen to-Moschion*

Λύκον ἔοικα τρέφειν τὸ μιαρὸν ἀνδράποδον· ἐμπεσὼν γὰρ
*a-wolf I-seem to-keep the foul slave having-fallen for*
εἰς τὰς αἶγας οὐκ ἔστιν ἥντινα οὐκ ἀπολώλεκε, τὰς
*upon the goats not there-is which not he-has-destroyed the-ones*
μὲν ἀποδόμενος τὰς δὲ καταθύων. καὶ τῷ μὲν
*indeed having-sold the-others and sacrificing and for-him indeed*
ἡ γαστὴρ τῆς κραιπάλης ἐμπίπλαται, καὶ τὰ λοιπὰ
*the belly with-the debauch is-filled and the rest*
τῇ τενθείᾳ δαπανᾶται καὶ ψάλλεται καὶ καταυλεῖται καὶ
*on-the gluttony is-spent and is-harped-to and is-piped-to and*
πρὸς τοῖς μυροπωλίοις φιληδεῖ, τὰ δὲ αὔλια ἔρημα, αἶγες
*at the perfume-shops he-delights the and folds empty goats*
δὲ ἐκεῖναι αἱ πρότερον οἴχονται. τέως μὲν οὖν ἡσυχίαν
*and those the former are-gone meanwhile indeed then quiet*
ἄγω, μὴ προαισθόμενος ψύττα κατατείνας φύγῃ· εἰ
*I-keep lest having-perceived-beforehand shoo having-stretched-out he-flee if*
δὲ ἀνυπόπτως λαβοίμην αὐτοῦ καὶ ἐγκρατὴς γενοίμην,
*but unsuspected I-should-catch him and master I-should-become*
δεδήσεται τὼ πόδε χοίνικας παχείας ἐπισύρων, καὶ τῇ
*he-will-be-bound the-two feet fetters thick dragging and to-the*
σκαπάνῃ προσανέχων ὑπὸ τῇ δικέλλῃ καὶ τῇ σμινύῃ
*mattock attending under the two-pronged-hoe and the hoe*
τῆς μὲν τρυφῆς ἐπιλήσεται, παθὼν δὲ γνώσεται οἷόν
*the indeed luxury he-will-forget having-suffered and he-will-know what-sort*
ἐστι τὸ τὴν ἄγροικον σωφροσύνην ἀσπάζεσθαι.
*it-is the the rustic temperance to-embrace*

25

## Ὕλη Νομίῳ

*Hyle to-Nomius*

Θαμίζεις εἰς ἄστυ κατιών, ὦ Νόμιε, καὶ τὸν ἀγρὸν
*you-go-often to town going-down O Nomius and the farm*
οὐδ' ἀκαρὶ θέλεις ὁρᾶν· ἀργεῖ δὲ ἡ γῆ χηρεύουσα τῶν
*not-even a-whit you-wish to-see lies-idle and the land bereft of-those*
ἐμπονούντων, ἐγὼ δὲ οἰκουρῶ μόνη μετὰ τῆς Σύρας
*working-it I and keep-house alone with — Syra*
ἀγαπητῶς τὰ παιδία βουκολοῦσα. σὺ δὲ ἡμῖν αὐτόχρημα
*contentedly the children tending you but to-us outright*
μεσαιπόλιος ἄνθρωπος μειράκιον ἀστικὸν ἀνεφάνης. ἀκούω
*half-gray man a-youth of-the-town have-turned-up I-hear*
γάρ σε τὰ πολλὰ ἐπὶ Σκίρου καὶ Κεραμεικοῦ διατρίβειν,
*for you the most at Scirus and Ceramicus to-spend-time*
οὗ φασὶ τοὺς ἐξωλεστάτους σχολῇ καὶ ῥαστώνῃ τὸν
*where they-say the most-abandoned in-leisure and ease the*
βίον καταναλίσκειν.
*life to-squander*

26

## Λήναιος Κορύδωνι

*Lenaeus to-Corydon*

Ἄρτι μοι τὴν ἄλω διακαθήραντι καὶ τὸ πτύον
*just-now for-me the threshing-floor having-cleaned and the winnowing-fan*
ἀποτιθεμένῳ ὁ δεσπότης ἐπέστη καὶ ἰδὼν ἐπῄνει τὴν
*putting-down the master came-up and having-seen praised the*
φιλεργίαν. ἐφάνη δέ μοί ποθεν ὁ Κωρυκαῖος δαίμων,
*industry appeared and to-me from-somewhere the Corycaean spirit*

Στρόμβιχος ὁ παμπόνηρος. ἰδὼν γάρ με ἐφεπόμενον
*Strombichus the all-wicked having-seen for me following*
τῷ δεσπότῃ, κειμένην τὴν σισύραν ἣν ἀποθέμενος
*the master lying the goat-hair-cloak which having-laid-aside*
εἰργαζόμην ὑπὸ μάλης ᾤχετο φέρων, ὡς ὁμοῦ ζημίᾳ
*I-was-working under arm went-off carrying so-that together with-loss*
καὶ τὸν ὑπὸ τῶν ὁμοδούλων προσοφλῆσαι γέλωτα.
*also the from the fellow-slaves to-incur laughter*

27

## Γέμελλος Σαλμωνίδι

*Gemellus to-Salmonis*

Τί ταῦτα, ὦ Σαλμωνίς, ὑπερηφανεῖς τάλαινα τὸν δεσπότην;
*why these-things O Salmonis do-you-scorn wretch the master*
οὐκ ἐγώ σε εἰς τοὐργαστήριον καθημένην παρὰ τὸν
*not I you in the-workshop sitting beside the*
ἀκεστὴν τὸν ἑτερόποδα ἀνειλόμην, καὶ ταῦτα λάθρᾳ τῆς
*mender the lame took-up and that secretly from-the*
μητρός, καὶ καθάπερ τινὰ ἐπίκληρον ἐγγυητὴν ἀγαγόμενος
*mother and as some heiress betrothed having-married*
ἔχω; σὺ δὲ φρυάττῃ, παιδισκάριον εὐτελές, καὶ κιχλίζουσα
*have-(you) you but snort servant-girl cheap and giggling*
καὶ μωκωμένη με διατελεῖς. οὐ παύσῃ τάλαινα τῆς
*and mocking me you-continue not will-you-stop wretch from-the*
ἀγερωχίας; ἐγώ σοι τὸν ἐραστὴν δείξω δεσπότην καὶ
*arrogance I to-you the lover will-show master and*
τὰς κάχρυς ἐπὶ τῶν ἀγρῶν φρύγειν ἀναπείσω, καὶ τότε
*the barley in the fields to-roast I-will-persuade and then*
εἴσῃ παθοῦσα οἷ κακῶν σαυτὴν ἐνέσεισας.
*you-will-know having-suffered to-what of-evils yourself you-have-shaken*

28

## Σαλμωνὶς Γεμέλλῳ

*Salmonis to-Gemellus*

Πάντα ὑπομένειν οἷα τε εἰμὶ πλὴν τοῦ συγκαθεύδειν,
*everything to-endure able — I-am except the to-sleep-with*
δέσποτα, μετὰ σοῦ. καὶ τὴν νύκτα οὐκ ἔφυγον οὐδὲ ὑπὸ
*master with you and the night not I-fled nor under*
τοῖς θάμνοις ἐκρυπτόμην, ὡς ἐδόκεις, ἀλλὰ τὴν κάρδοπον
*the bushes was-I-hiding as you-thought but the kneading-trough*
ὑπεισελθοῦσα ἐκείμην ἀμφιθεμένη τὸ κοῖλον τοῦ σκεύους εἰς
*having-crept-under I-lay having-put-around the hollow of-the vessel for*
κάλυμμα. ἐπειδὴ δὲ κέκρικα βρόχῳ τὸν βίον ἐκλιπεῖν, ἄκουε
*a-cover since but I-have-decided by-a-noose the life to-leave hear*
λεγούσης ἀναφανδόν, πάντα γὰρ ὁμοῦ περιαιρεῖ φόβον ἡ
*(me)-speaking openly all for together takes-away fear the*
πρὸς τὸ τελευτᾶν ὁρμή· ἐγώ σε ὦ Γέμελλε στυγῶ, τοῦτο
*toward the to-die impulse I you O Gemellus hate on-this-hand*
μὲν βδελυττομένη τὸ δάσος τοῦ σώματος καὶ ὥσπερ
*indeed loathing the shagginess of-the body and like*
τι κίναδος ἐκτρεπομένη, τοῦτο δὲ τὴν δυσχέρειαν τοῦ
*some fox turning-away on-that-hand and the unpleasantness of-the*
στόματος ἐκ τοῦ μυχαιτάτου τῆς φάρυγγος τὴν δυσοσμίαν
*mouth from the innermost of-the throat the stench*
ἐκπέμποντος. κακὸς κακῶς ἀπόλοιο τοιοῦτος ὤν. βάδιζε
*sending-out bad badly may-you-perish such being go*
παρά τινα λημῶσαν ἄγροικον γραῦν ἐπὶ ἑνὶ γομφίῳ
*to some blear-eyed rustic old-woman on one molar*
σαλεύουσαν, ἀληλιμμένην τῷ ἐκ τῆς πίττης ἐλαίῳ.
*tottering anointed with-the from the pitch oil*

29

## Ὄρειος Ἀνθοφορίωνι

*Oreius to-Anthophorion*

Ἠπιστάμην σε, ὦ Ἀνθοφορίων, ἁπλοϊκὸν εἶναι ἄνθρωπον
*I-knew you O Anthophorion simple to-be a-man*
καὶ αὐτόχρημα τὸν ἀπὸ τῆς ἀγροικίας ἄγροικον, ὄζοντα
*and outright the from the countryside rustic smelling*
στεμφύλων καὶ κόνιν πνέοντα, ἠγνόουν δὲ ὅτι δεινὸς
*of-olive-cakes and dust breathing I-did-not-know but that clever*
εἶ ῥήτωρ ὑπὲρ τοὺς ἐν Μιλιαίῳ τῶν ἀλλοτρίων ἕνεκεν
*you-are orator beyond those in Miliaeum of-the others for-the-sake*
ἀδικομαχοῦντας. κινήσας γὰρ ἐπὶ τοῦ κωμάρχου δίκας
*pleading-unjustly having-moved for before the village-headman suits*
ἔναγχος, οὐκ ἔστιν ἥν τινα οὐχὶ νικήσας ἀπηλλάγης.
*lately not there-is which any not having-won you-came-off*
μακάριε τῆς γλώττης καὶ λαλίστερε τρυγόνος. ἐγὼ δὲ
*blessed of-the tongue and more-talkative than-a-turtle-dove I but*
ἑρμαίῳ σοι χρῶμαι, τοῦτο δὴ τὸ τοῦ λόγου. ἔκκειμαι
*as-a-windfall you use this indeed the of-the saying I-am-exposed*
γὰρ τοῖς βουλομένοις τἀμὰ σφετερίζεσθαι καὶ ἀγαπῶ
*for to-those wishing my-things to-appropriate and I-love*
τὴν ἡσυχίαν, καὶ ταῦτα εἰδὼς ὅτι μοι πολλάκις ἐκ τῆς
*the quiet and that knowing that for-me often from the*
ἀπραγμοσύνης φύεται πράγματα.
*inactivity grow troubles*

30

## Ἀμπελίων Εὐέργῳ

*Ampelion to-Euergus*

Πολὺς ὁ χειμὼν τὸ τῆτες καὶ οὐδενὶ ἐξιτητόν. πάντα γὰρ
*great the winter the this-year and to-no-one passable all for*
ἡ χιὼν κατείληφε, καὶ λευκανθίζουσιν οὐχ οἱ λόφοι μόνον
*the snow has-seized and are-white not the hills only*
ἀλλὰ καὶ τὰ κοῖλα τῆς γῆς, ἀπορία δὲ ἔργων, ἀργὸν
*but also the hollows of-the earth lack and of-works idle*
δὲ καθίζειν ὄνειδος. προκύψας δῆτα τῆς καλύβης οὐκ
*and to-sit a-reproach having-peeped-out indeed from-the but not*
ἔφθην παρανοίξας τὸ θύριον καὶ ὁρῶ σὺν τῷ νιφετῷ
*I-was-sooner having-opened-a-little the little-door and I-see with the snowfall*
δῆμον ὅλον ὀρνέων φερόμενον, καὶ κοψίχους καὶ κίχλας.
*a-people whole of-birds being-borne both blackbirds and thrushes*
εὐθέως οὖν ἀπὸ τῆς λεκάνης ἀνασπάσας ἰξὸν ἐπαλείφω
*straightway then from the basin having-drawn-up birdlime I-smear-on*
τῶν ἀχράδων τοὺς κλάδους, καὶ ὅσον οὔπω τὸ νέφος
*of-the wild-pears the branches and as-much-as not-yet the cloud*
ἐπέστη καὶ πᾶσαι ἐκ τῶν ὀροδάμνων ἐκρέμαντο, θέαμα
*was-upon-(them) and all from the twigs were-hanging a-sight*
ἡδύ, πτερῶν ἐχόμεναι καὶ κεφαλῆς καὶ ποδῶν εἰλημμέναι.
*sweet by-wings held and by-head and by-feet caught*
ἐκ τούτων λάχος σοι τὰς πίονας καὶ εὐσάρκους
*from these as-a-portion to-you the fat and fleshy*
ἀπέσταλκα πέντε καὶ εἴκοσι. κοινωνεῖν γὰρ ἀγαθὸν τοῖς
*I-have-sent five and twenty to-share for good with-the*
ἀγαθοῖς, φθονοῦσι δὲ οἱ πονηροὶ τῶν γειτόνων.
*good are-envious and the wicked of-the neighbors*

31

## Φιλόκωμος Θεστύλλῳ

*Philocomus to-Thestyllus*

Οὐπώποτε εἰς ἄστυ καταβὰς οὐδὲ εἰδὼς ὅ τι
*never-yet to town having-gone-down nor knowing what thing*
ποτέ ἐστιν ἡ λεγομένη πόλις, ποθῶ τὸ καινὸν τοῦτο
*ever is the so-called city I-long-for the new this*
θέαμα ἰδεῖν, ὑφ᾽ ἑνὶ περιβόλῳ κατοικοῦντας ἀνθρώπους,
*sight to-see under one wall dwelling men*
καὶ τἆλλα ὅσα διαφέρει πόλις ἀγροικίας μαθεῖν.
*and the-rest as-much-as differs city from-countryside to-learn*
εἰ οὖν σοι πρόφασις ὁδοῦ ἄστυδε γένοιτο, ἧκε
*if then for-you a-pretext of-a-journey to-town should-arise come*
ἀπάξων νῦν κἀμέ. καὶ γὰρ ἔγωγε δεῖν οἶμαι
*to-be-going-to-take-away now me-too and for I-at-least to-be-needful I-think*
τοῦ πλέον τι μαθεῖν, ἤδη μοι βρύειν θριξὶ τῆς
*the more something to-learn already for-me to-sprout with-hairs the*
ὑπήνης ἀρχομένης. τίς οὖν δή με κἀκεῖθι μυσταγωγεῖν
*beard beginning who then indeed me there-too to-initiate*
ἐπιτήδειος ἢ σὺ ὁ τὰ πολλὰ εἴσω πυλῶν ἀλινδούμενος;
*fit than you the the most within gates roaming*

32

## Σκορπιάδης Σκοτίωνι

*Scorpiades to-Scotion*

Βάλλ᾽ ἐς μακαρίαν. οἷον κακόν ἐστιν, ὦ Σκοτίων,
*go to blessedness what-an evil is O Scotion*
ἡ μέθη. ἐμπεσὼν γὰρ εἰς συμπόσιον κακοδαιμόνων
*the drunkenness having-fallen for into a-drinking-party of-wretched*

ἀνθρώπων· οἰνόφλυγες δὲ πάντες ἦσαν, καὶ οὐδεὶς τῷ
*men wine-bibbers and all they-were and no-one with-the*
μέτρῳ τὸ πίνειν ἔστεργε· συνεχῶς δὴ περιφερομένης
*measure the drinking was-content-with continually indeed being-carried-round*
τῆς κύλικος· ἦν γὰρ τοῖς ἀρνουμένοις τοῦτο τοὐπιτίμιον·
*the cup was for for-those refusing this the-penalty*
ἔδει γὰρ αὐτοὺς εἰς τὴν ὑστεραίαν ἑστιᾶν, εἴ τις
*it-was-needful for them for the next-day to-feast-(the-company) if anyone*
ἠρνεῖτο τὴν κύαθον. πιὼν οὖν ὅσον οὔπω πρότερον
*refused the ladle having-drunk then as-much-as never before*
ἐν ἀσκῷ βαστάσας οἶδα, τρίτην ταύτην ἡμέραν ἔχω καὶ
*in a-wineskin having-carried I-know third this day I-have and*
ἔτι σοι καρηβαρῶ καὶ τὴν κραιπάλην ἀπερυγγάνω.
*still to-you I-am-heavy-headed and the hangover I-belch-up*

33

## Ἄνθυλλα Κορίσκῳ

*Anthylla to-Coriscus*

Ἔοικε καὶ τὰ νάματα εἰς τὰ ἄνω ῥυήσεσθαι, εἴ
*it-seems even the streams to the upward-(way) to-be-going-to-flow if*
γε οὕτως, ὦ Κορίσκε, ἀφηλικέστερος γεγονώς, ὅτε ἤδη
*at-least thus O Coriscus elderly having-become when already*
λοιπὸν υἱδοῦς καὶ θυγατριδοῦς ἔχομεν, ἐρᾷς κιθαρῳδοῦ
*now sons'-sons and daughters'-sons we-have you-love a-lyre-singer*
γυναικὸς κἀμὲ κνίζεις ἄχρι τοῦ καὶ αὐτὴν ἐκρινῆσαι
*woman and-me you-gall till the even itself to-file-away*
τὴν καρδίαν. ἐγὼ μὲν γὰρ ἀτιμάζομαι τριακοστὸν ἔτος
*the heart I indeed for am-dishonored thirtieth year*
ἤδη συνοῦσά σοι, Παρθένιον δὲ ἡ ἱππόπορνος μεθ᾽
*already living-with you Parthenion but the horse-whore with*

ὑποκορισμῶν ἐκθεραπεύεται ὅλον σε αὐτοῖς ἀγροῖς
*pet-names wins-over whole you together-with fields*
καταπιοῦσα. γελῶσι δὲ οἱ νέοι, καὶ σὺ τοῦ γέλωτος
*having-swallowed laugh and the young and you of-the laughter*
ἀναισθήτως ἔχεις. ὦ γῆρας ἑταίρας παίγνιον.
*insensibly are O old-age of-a-courtesan plaything*

34

## Γνάθων Καλλικωμίδῃ

*Gnathon to-Callicomides*

Τίμωνα οἶσθα, ὦ Καλλικωμίδη, τὸν Ἐχεκρατίδου τὸν
*Timon you-know O Callicomides the son-of-Echecratides the*
Κολλυτέα, ὃς ἐκ πλουσίου, σπαθήσας τὴν οὐσίαν εἰς ἡμᾶς
*Collytean who from rich having-squandered the property on us*
τοὺς παρασίτους καὶ τὰς ἑταίρας, εἰς ἀπορίαν συνηλάθη,
*the parasites and the courtesans into poverty was-driven*
εἶτ' ἐκ φιλανθρώπου μισάνθρωπος ἐγένετο καὶ τὴν
*then from humane misanthrope became and the*
Ἀπημάντου ἐμιμήσατο στύγα. καταλαβὼν γὰρ τὴν ἐσχατιὰν
*of-Apemantus imitated hatred having-taken for the border-land*
ταῖς βώλοις τοὺς παριόντας βάλλει, προμηθούμενος μηδένα
*with-the clods those passing-by he-pelts taking-care no-one*
αὐτῷ καθάπαξ ἀνθρώπων ἐντυγχάνειν. οὕτως τὴν κοινὴν
*to-him at-all of-men to-meet so the common*
φύσιν ἀπέστραπται. οἱ λοιποὶ δὲ τῶν Ἀθήνησι νεοπλούτων
*nature he-has-turned-from the others and of-the at-Athens newly-rich*
Φείδωνός τέ εἰσι καὶ Γνίφωνος μικροπρεπέστεροι. ὥρα
*than-Phidon both are and Gniphon meaner time*
μοι μετανίστασθαι καὶ πονοῦντι ζῆν. δέχου δὴ οὖν με
*for-me to-change-my-dwelling and laboring to-live receive indeed then me*

μισθωτὸν κατ᾽ ἀγρόν, πάντα ὑπομένειν ἀνεξόμενον ὑπὲρ
*hireling in country everything to-endure to-be-going-to-bear for*
τοῦ τὴν ἀπλήρωτον ἐμπλῆσαι γαστέρα.
*the the insatiable to-fill belly*

## BOOK III.35–47 · FARMERS AND PARASITES

*In a drought Zeus ignores the villagers' sacrifices; a soldier billeted on a farm boasts of his battles and drinks cup after cup without ceasing to talk. Epiphyllis was ambushed and violated by Moschion and now has him as husband. A Phrygian slave eats for four and sleeps like Epimenides; a son begs his mother to come to the Thesmophoria; a father finds his son turned Cynic; a farmer sends his wife fleeces to weave. Parasites write of losing everything at dice, being beaten and jailed by a patron's father, a rival's undeserved luck, a face cut by a bowl, a stolen napkin, and a silver jug sold to a Sicilian shipmaster.*

35

### Θαλλίσκος Πετραίῳ

*Thalliscus to-Petraeus*

Αὐχμὸς τὰ νῦν· οὐδαμοῦ νέφος ὑπὲρ γῆς αἴρεται·
*drought the now nowhere a-cloud above land is-raised*
δεῖ δὲ ἐπομβρίας. διψῇν γὰρ τὰς ἀρούρας αὐτὸ τὸ
*is-needed and of-rain to-thirst for the plowlands itself the*
κατάξηρον τῆς βώλου δείκνυσι. μάταια ἡμῖν ὡς ἔοικε καὶ
*dryness of-the clod shows vain to-us as it-seems and*
ἀνήκοα τέθυται τῷ ὑετίῳ, καίτοι γε ἐξ ἁμίλλης
*unheard has-been-sacrificed to-the rain-god and-yet at-least out-of rivalry*
ἐκαλλιερήσαμεν πάντες οἱ τῆς κώμης οἰκήτορες, καὶ ὡς
*we-sacrificed-auspiciously all the of-the village inhabitants and as*
ἕκαστος δυνάμεως ἢ περιουσίας εἶχε συνεισηνέγκατο, ὁ
*each of-means or of-abundance had contributed the-one*

μὲν κριὸν ὁ δὲ τράγον ὁ δὲ κάπρον, ὁ πένης
*indeed a-ram the-other and a-goat the-other and a-boar the poor-man*
πόπανον ὁ δὲ ἔτι πενέστερος λιβανωτοῦ χόνδρους
*a-cake the-other and still poorer of-frankincense grains*
εὖ μάλα εὐρωτιῶντας, ταῦρον δὲ οὐδείς· οὐ γὰρ εὐπορία
*well very moldy a-bull but no-one not for wealth*
βοσκημάτων ἡμῖν τὴν λεπτόγεων τῆς Ἀττικῆς κατοικοῦσιν.
*of-cattle for-us the thin-soiled — of-Attica inhabiting*
ἀλλ᾽ οὐδὲν ὄφελος τῶν δαπανημάτων· ἔοικε γὰρ πρὸς
*but no profit of-the expenses it-seems for among*
ἑτέροις ἔθνεσιν ὁ Ζεὺς ὢν τῶν τῇδε ἀμελεῖν.
*other peoples — Zeus being the-things here to-neglect*

36

## Πρατῖνος Μεγαλοτέλει

*Pratinus to-Megaloteles*

Χαλεπὸς ἦν ἡμῖν ὁ στρατιώτης, χαλεπός. ἐπεὶ γὰρ ἦκε
*harsh was to-us the soldier harsh since for he-came*
δείλης ὀψίας καὶ κατήχθη οὐ κατὰ τύχην ἀγαθὴν εἰς
*at-evening late and was-lodged not by fortune good on*
ἡμᾶς, οὐκ ἐπαύσατο ἐνοχλῶν τοῖς διηγήμασι, δεκάδας
*us not he-stopped troubling with-the narratives companies*
τινὰς καὶ φάλαγγας ὀνομάζων, εἶτα σαρίσσας καὶ
*some and phalanxes naming then pikes and*
καταπέλτας καὶ γέρρα· καὶ νῦν μὲν ὡς ἀνέτρεψε τοὺς
*catapults and wicker-shields and now indeed how he-routed the*
Θρᾷκας τὸν προηγεμόνα βαλὼν μεσαγκύλῳ, νῦν δὲ ὡς
*Thracians the leader having-struck with-a-javelin now and how*
κοντῷ διαπείρας τὸν Ἀρμένιον ἀπώλεσεν· ἐπὶ πᾶσί τε
*with-a-pike having-pierced the Armenian he-destroyed on all and*

αἰχμαλώτους παρῆγε καὶ ἐδείκνυ γυναῖκας, ἃς ἔλεγεν
*captives he-brought-forward and showed women whom he-said*
ἐκ τῆς λείας ὑπὸ τῶν στρατηγῶν ἀριστείας αὐτῷ γέρας
*from the booty by the generals of-valor to-him a-prize*
δεδόσθαι. τῷ δὲ ἐγκανάξας κύλικα εὐμεγέθη φλυαρίας
*to-have-been-given to-him and having-poured-in a-cup huge of-babble*
φάρμακον ὤρεγον, ὁ δὲ καὶ ταύτην καὶ πλείονας ἐπὶ
*a-drug I-held-out he and both this and more on*
ταύτῃ καὶ ἀδροτέρας ἐκπιὼν οὐκ ἐπαύσατο ἀδολεσχίας.
*this and stouter having-drunk-off not he-stopped from-prating*

37

## Ἐπιφυλλὶς Ἀμαρακίνῃ

*Epiphyllis to-Amaracine*

Εἰρεσιώνην ἐξ ἀνθῶν πλέξασα ᾔειν ἐς Ἑρμαφροδίτου τῷ
*a-harvest-wreath of flowers having-woven I-was-going to of-Hermaphroditus the*
Ἀλωπεκῆθεν ταύτην ἀναθήσουσα. εἶτά μοι λόχος ἐξαίφνης
*from-Alopece it to-be-going-to-dedicate then to-me an-ambush suddenly*
ἀναφαίνεται νέων ἀγερώχων ἐπ᾽ ἐμὲ συντεταγμένων·
*appears of-young-men arrogant against me drawn-up*
ὁ λόχος δὲ Μοσχίωνι συνέπραττεν. ἐπεὶ γὰρ τὸν μακαρίτην
*the ambush and with-Moschion was-acting since for the late-lamented*
ἀπέβαλον Φαιδρίαν, οὐκ ἐπαύσατό μοι πράγματα παρέχων
*I-lost Phaedrias not he-ceased for-me troubles causing*
καὶ γαμησείων· ἐγὼ δὲ ἀνηνάμην ἅμα μὲν τὰ νεογνὰ
*and desiring-to-marry I but refused at-once on-the-one-hand the newborn*
παιδία κατοικτείρουσα ἅμα δὲ τὸν ἥρω Φαιδρίαν
*children pitying at-once on-the-other the hero Phaedrias*
ἐν ὀφθαλμοῖς τιθεμένη. ἐλάνθανον δὲ ὑβριστὴν ὑμέναιον
*in eyes placing I-was-unaware and an-outrageous wedding-song*

ἀναμένουσα καὶ θάλαμον νάπην εὑρίσκουσα. εἰς γάρ με
*awaiting and as-bridal-chamber a-glen finding into for me*
τὸ συνηρεφὲς ἀγαγών, οὗ τὸ πύκνωμα συνεχὲς ἦν τῶν
*the thicket having-brought where the thickness continuous was of-the*
δένδρων, αὐτοῦ που κατὰ τῶν ἀνθῶν καὶ τῆς φυλλάδος,
*trees there somewhere on the flowers and the foliage*
αἰδοῦμαι εἰπεῖν, ὦ φιλτάτη, τί παθεῖν ἐπηνάγκασε. καὶ ἔχω
*I-am-ashamed to-say O dearest what to-suffer he-compelled and I-have*
τὸν ἐξ ὕβρεως ἄνδρα, οὐχ ἑκοῦσα μὲν ὅμως δὲ ἔχω.
*the from outrage husband not willing indeed yet but I-have-(him)*
καλὸν μὲν γὰρ ἀπείραστον εἶναι τῶν ἀβουλήτων, ὅτῳ
*fine indeed for untried to-be of-the unwanted-things to-whom*
δὲ οὐχ ὑπάρχει τοῦτο, κρύπτειν τὴν συμφορὰν ἀναγκαῖον.
*but not is-the-case this to-hide the misfortune necessary*

38

## Εὔδικος Πασίωνι

*Eudicus to-Pasion*

Φρύγα οἰκέτην ἔχω πονηρόν· ὡς γὰρ τῇ ἔνῃ καὶ
*a-Phrygian servant I-have worthless when for on-the old and*
νέᾳ κατ᾽ ἐκλογὴν τοῦτον ἐπριάμην, Νουμήνιον μὲν
*new by choice this-one I-bought Numenius indeed*
εὐθὺς ἐθέμην καλεῖσθαι, δόξαντα δὲ εἶναι ῥωμαλέον
*straightway I-arranged to-be-called seeming and to-be strong*
καὶ ἐγρηγορὸς βλέποντα μετὰ περιχαρείας ἦγον ὡς
*and alert looking with great-joy I-led-(him) as*
ἐπὶ τῆς ἐσχατιᾶς μοι ἐσόμενον. ἦν δὲ οὗτος ἄρα
*on the border-land for-me to-be-going-to-be was and this-one after-all*
λαμπρὰ ζημία. ἐσθίει μὲν γὰρ τεσσάρων σκαπανέων
*a-splendid loss he-eats indeed for of-four diggers*

σιτία, ὑπνοῖ δὲ ὅσον ἤκουσα τετυφωμένου σοφιστοῦ
*rations he-sleeps and as-much-as I-heard a-befogged sophist*
λέγοντος Ἐπιμενίδην τινὰ Κρῆτα κεκοιμῆσθαι. τί ἂν
*saying Epimenides a-certain Cretan to-have-slept what —*
οὖν ποιοίην, ὦ φίλτατε ἑταίρων καὶ συγγεωργῶν, ἴθι
*then should-I-do O dearest of-companions and fellow-farmers come*
φράσον, ἐπὶ τοιούτῳ θηρίῳ καταβαλὼν ἀργυρίδιον;
*tell on such a-beast having-laid-down little-money*

39

## Εὐθύδικος Ἐπιφανίῳ

*Euthydicus to-Epiphanion*

Πρὸς θεῶν καὶ δαιμόνων, ὦ μῆτερ, πρὸς ὀλίγον
*by gods and spirits O mother for a-little*
καταλιποῦσα τοὺς σκοπέλους καὶ τὴν ἀγροικίαν, θέασαι
*having-left the crags and the countryside behold*
πρὸ τῆς τελευταίας ἡμέρας τὰ κατ᾽ ἄστυ καλά. οἷα γὰρ
*before the last day the in town fine-things what-sort for*
οἷά σε λανθάνει, ἅλῶα καὶ ἀπατούρια καὶ διονύσια καὶ ἡ
*what-sort you escape Haloa and Apaturia and Dionysia and the*
νῦν ἑστῶσα σεμνοτάτη τῶν θεσμοφορίων ἑορτή. ἡ μὲν οὖν
*now at-hand most-august of-the Thesmophoria feast the indeed then*
ἄνοδος κατὰ τὴν πρώτην γέγονεν ἡμέραν, ἡ νηστεία δὲ τὸ
*Ascent on the first has-been day the Fast and the*
τήμερον εἶναι παρ᾽ Ἀθηναίοις ἑορτάζεται, τὰ καλλιγένεια δὲ
*today to-be among Athenians is-celebrated the Calligeneia and*
εἰς τὴν ἐπιοῦσαν θύουσιν. εἰ οὖν ἐπειχθείης ἔρχῃ ἕωθεν
*for the coming-(day) they-sacrifice if then you-should-hasten you-come at-dawn*
πρὸ τοῦ τὸν ἑωσφόρον ἐξελθεῖν, συνθύεις ταῖς Ἀθηναίων
*before the the morning-star to-come-out you-sacrifice-with the of-Athenians*

γυναιξὶν αὔριον. ἦκε οὖν, μὴ μέλλε, ναὶ πρὸς ἐμῆς καὶ τῶν
*women tomorrow come then not delay yes by my and of-the*
αὐταδέλφων τῶν ἐμῶν σωτηρίας. τὸ γὰρ ἄγευστον πόλεως
*brothers the my safety the for untasted of-the-city*
καταλῦσαι τὸν βίον ἀποτρόπαιον, ὡς ὂν θηριῶδες καὶ
*to-end the life to-be-averted as being beastly and*
δύστροπον. ἀνέχου δή, ὦ μῆτερ, τῆς ἐπὶ τῷ συμφέροντι
*perverse bear indeed O mother the for the advantage*
παρρησίας· καλὸν ἅπασιν ἀνθρώποις ἀνυποστόλως ὁμιλεῖν,
*frankness fine for-all men without-reserve to-converse*
οὐχ ἥκιστα δὲ ἀναγκαῖον τὸ πρὸς τοὺς οἰκείους ἀληθίζεσθαι.
*not least and necessary the toward the kin to-speak-truth*

40

## Φιλομήτωρ Φιλίσῳ

*Philometor to-Philiscus*

Ἐγὼ μὲν τὸν παῖδα ἀποδόσθαι εἰς ἄστυ ξύλα καὶ κριθὰς
*I indeed the slave to-sell to town wood and barley*
ἀπέπεμψα, ἐπανήκειν τὴν αὐτὴν τὰ κέρματα κομίζοντα
*sent-off to-come-back the same-(day) the coins bringing*
παρεγγυῶν. χόλος δὲ ἐμπεσὼν ἐξ ὅτου δαιμόνων εἰς
*enjoining bile and having-fallen from which of-spirits on*
αὐτὸν οὐκ ἔχω λέγειν, ὅλον παρήμειψε καὶ τῶν φρενῶν
*him not I-can to-say whole changed-(him) and the wits*
ἔξω κατέστησε. θεασάμενος γὰρ ἕνα τουτωνὶ μεμηνότων,
*outside set having-seen for one of-these-here mad-men*
οὓς διὰ τὸ μανιῶδες πάθος κύνας ἀποκαλεῖν εἰώθασιν,
*whom because-of the maniacal affliction dogs to-call they-are-wont*
ὑπερέβαλε τῇ μιμήσει τῶν κακῶν τὸν ἀρχηγέτην.
*he-outdid in-the imitation of-the evils the founder*

καὶ ἔστιν ἰδεῖν θέαμα ἀποτρόπαιον καὶ φοβερόν,
*and it-is-possible to-see a-sight to-be-averted and fearsome*
κόμην αὐχμηρὰν ἀνασείων, τὸ βλέμμα ἰταμός, ἡμίγυμνος
*hair squalid tossing the look bold half-naked*
ἐν τριβωνίῳ, πηρίδιον ἐξηρτημένος καὶ ῥόπαλον ἐξ
*in a-threadbare-cloak a-little-wallet hung-from-him and a-club from*
ἀχράδος πεποιημένον μετὰ χεῖρας ἔχων, ἀνυπόδητος,
*wild-pear made in hands having barefoot*
ῥυπῶν, ἄκαρτος, τὸν ἀγρὸν καὶ ἡμᾶς οὐκ εἰδὼς τοὺς
*being-filthy unshorn the farm and us not knowing the*
γονεῖς, ἀλλ᾽ ἀρνούμενος, φύσει λέγων γεγονέναι τὰ πάντα
*parents but denying by-nature saying to-have-been-born the all-things*
καὶ τὴν τῶν στοιχείων σύγκρασιν αἰτίαν εἶναι γενέσεως,
*and the of-the elements mixture cause to-be of-birth*
οὐχὶ τοὺς πατέρας. εὔδηλον δέ ἐστι καὶ χρημάτων
*not the fathers clear and it-is both money*
περιορᾶν καὶ γεωργίαν στυγεῖν. ἀλλὰ καὶ αἰσχύνης αὐτῷ
*to-disregard and farming to-hate but even of-shame to-him*
μέλει οὐδὲν καὶ τὴν αἰδῶ τῶν προσώπων ἀπέξυσται.
*there-is-concern none and the modesty of-the face he-has-scraped-off*
οἴμοι οἷόν σε, ὦ γεωργία, τὸ τῶν ἀπατεώνων τουτωνὶ
*alas how you O farming the of-the impostors these-here*
φροντιστήριον ἐξετραχήλισε. μέμφομαι τῷ Σόλωνι καὶ τῷ
*thinking-shop has-thrown-headlong I-blame — Solon and —*
Δράκοντι, οἳ τοὺς μὲν κλέπτοντας σταφυλὰς θανάτῳ
*Draco who those indeed stealing grapes with-death*
ζημιοῦν ἐδικαίωσαν, τοὺς δὲ ἀνδραποδίζοντας ἀπὸ τοῦ
*to-punish judged-right those and enslaving from the*
φροντίζειν τοὺς νέους ἀθῴους εἶναι τιμωρίας ἀπέλιπον.
*to-think the young guiltless to-be of-punishment left*

41

## Δρυάδης Μηλιόνῃ

*Dryades to-Melione*

Ἔπεμψά σοι τῶν Δεκελειᾶσι προβάτων ἀποκείρας τὰ
*I-sent to-you of-the at-Decelea sheep having-shorn the*
ῥωμαλέα τοὺς πόκους· ὅσα γὰρ ψώρας ὑπόπλεα,
*sturdy-ones the fleeces as-many-as for of-scab full*
ταῦτα τῷ ποιμένι Πυρρίᾳ παρέδωκα χρῆσθαι ἐς ὅ
*these to-the shepherd Pyrrhias I-handed-over to-use for what*
τι ἂν θέλῃ, πρὶν φθάσαι διαφθαρῆναι παντελῶς ὑπὸ
*ever — he-may-wish before to-be-first to-be-ruined wholly by*
τῆς νόσου. ἔχουσα οὖν ἀφθονίαν ἐρίων ἐξύφηνον ἡμῖν
*the disease having then abundance of-wools weave for-us*
ἐσθήματα πρόσφορα ταῖς ὥραις, ὡς εἶναι τὰ μὲν
*garments suited to-the seasons so-that to-be the-ones indeed*
τῷ θέρει προσαρμόζοντα λεπτοϋφῆ, τὰ δὲ χειμέρια
*for-the summer fitting fine-woven the-others and wintry*
ἐχέτω περιττῶς τῆς κρόκης καὶ πεπαχύνθω πλέον,
*let-them-have abundantly of-the weft and let-them-be-thickened more*
ἵνα τὰ μὲν τῇ μανότητι σκιάζῃ μόνον καὶ μὴ
*so-that the-ones indeed by-the thinness may-shade only and not*
καταθάλπῃ τὰ σώματα, τὰ δὲ τῇ βαρύτητι ἀπείργῃ
*overheat the bodies the-others and by-the weight may-keep-off*
τὸν κρυμὸν καὶ ἀλεξάνεμα τυγχάνῃ. καὶ ἡ παρθένος δέ,
*the frost and wind-guards may-be and the maiden and*
ἡ παῖς ἣν ἔχομεν ἐν ὥρᾳ γάμου, συλλαμβανέτω τῆς
*the daughter whom we-have in season of-marriage let-her-help-with the*
ἱστουργίας ταῖς θεραπαινίσιν, ἵνα εἰς ἀνδρὸς ἐλθοῦσα
*weaving with-the maidservants so-that into a-husband's having-come*
μὴ καταισχύνῃ τοὺς πατέρας ἡμᾶς. καὶ ἄλλως δὲ εἰδέναι
*not she-may-shame the parents us and otherwise too to-know*

σε χρή, ὡς αἱ ταλασίαν ἀγαπῶσαι καὶ τὴν Ἐργάνην
*you it-is-needful that those wool-spinning loving and — Ergane*
θεραπεύουσαι κόσμῳ βίου καὶ σωφροσύνῃ σχολάζουσιν.
*serving to-order of-life and to-temperance devote-themselves*

42

## Ῥαγοστράγγισος Στεμφυλοδαίμονι
*Rhagostrangisus to-Stemphylodaemon*

Ἄρδην ἀπόλωλά σοι· ὁ γὰρ χθὲς εὐπάρυφος, πιναροῖς
*utterly I-am-ruined for-you the for yesterday purple-bordered in-filthy*
ὡς ὁρᾷς καὶ τριχίνοις ῥακίοις τὴν αἰδῶ περισκέπω.
*as you-see and haircloth rags the shame cover*
ἀπέδυσε γάρ με Παταικίων ὁ παμπόνηρος, ὃς τὰ κέρματά
*stripped for me Pataecion the all-wicked who the coins*
με (εἶχον δὲ ὡς οἶσθα ὑπόσυχνον ἀργύριον) δεξιαῖς
*me I-had and as you-know fairly-much silver lucky*
χρώμενος ταῖς καλινδήσεσι τῶν κύβων ἄχρι δραχμῶν καὶ
*using the rolls of-the dice to drachmas and*
ὀβολῶν ἀπεσύλησεν. ἐξὸν δέ μοι παριδεῖν ὅσον
*obols plundered it-being-possible and for-me to-overlook as-much-as*
ἐζημιώθην, εἶτ' ἀθῴῳ γενέσθαι τοῦ πλείονος, ἐκ τῆς κατ'
*I-had-lost then free to-become of-the greater from the in*
ὀργὴν ἔριδος τὴν εἰς τοὔσχατον ὑπέμεινα βλάβην· καθ' ἓν
*anger strife the to the-utmost I-underwent harm by one*
γὰρ ἕκαστον τῶν ἱματίων ἐκ προκλήσεως ἀποτιθεὶς τέλος
*for each of-the garments from challenge laying-down at-last*
ἁπάντων ἐψιλώθην τῶν ἐνδυμάτων. ποῖ δὴ οὖν βαδιστέον;
*of-all I-was-stripped of-the clothes where indeed then must-I-go*
χαλεπῶς γὰρ καὶ λάβρως ἐπαιγίζων ὁ βορρᾶς δίεισί μου
*harshly for and fiercely rushing the north-wind goes-through my*

τῶν πλευρῶν ὥσπερ βέλος. ἐς Κυνόσαργες ἴσως οἰχητέον.
*the sides like an-arrow to Cynosarges perhaps I-must-go*
ἢ γάρ τις τῶν ἐκεῖ νεανίσκων κατοικτείρας ἀμφιάσει με
*either for some of-the there young-men having-pitied will-clothe me*
ἱματίοις, ἢ καταλήψομαι ἐγγύθεν τὰς καμίνους καὶ τῷ
*with-garments or I-will-occupy nearby the furnaces and by-the*
πυρὶ ὁ δύστηνος θάλψομαι· τοῖς γὰρ γυμνοῖς σισύρα
*fire the wretch I-will-warm-myself for-the for naked goat-hair-cloak*
καὶ ἐφεστρὶς ἡ φλὸξ καὶ τὸ ἐκ τῆς εἴλης θέρεσθαι.
*and cloak the flame and the from the sunshine to-warm-oneself*

43

## Ψιχοκλαύστης Βουκίωνι

*Psichoclaustes to-Bucion*

Τῇ προτεραίᾳ ξυράμενοι τὰς κεφαλὰς ἐγὼ καὶ Στρουθίων
*on-the day-before having-shaved the heads I and Struthion*
καὶ Κύναιθος οἱ παράσιτοι, λουσάμενοι εἰς τὸ ἐν Σηραγγίῳ
*and Cynaethus the parasites having-bathed in the in Serangium*
βαλανεῖον, ἀμφὶ τὴν πέμπτην ὥραν δρόμον ἀφέντες εἰς
*bath about the fifth hour a-run having-let-loose to*
τὸ προάστειον τὸ Ἀγκυλῆσι τὸ Χαρικλέους τοῦ μειρακίσκου
*the suburb the at-Ancyle the of-Charicles the lad*
ᾠχόμεθα, ἔνθα αὐτός τε ἀσμένως ὑπεδέξατο φιλόγελώς
*went where he both gladly received-(us) laughter-loving*
τε ὢν καὶ φιλαναλώτης, ἡμεῖς τε διατριβὴν αὐτῷ καὶ
*both being and fond-of-spending we and amusement to-him and*
τοῖς συμπόταις παρέσχομεν, παρὰ μέρος ἀλλήλους
*to-the drinking-companions provided in turn one-another*
ἐπιρραπίζοντες καὶ ἀνάπαιστα εὔκροτα ἐπιλέγοντες αὐτοῖς
*slapping and anapaests well-clapped reciting to-them*

σκωμμάτων ἁλυκῶν καὶ αὐτοχαρίτων Ἀττικῶν αἱμυλίας
*of-jests salty and self-graceful Attic wheedling*
γέμοντα. ἐν τούτῳ δὴ ἱλαρότητος καὶ εὐφροσύνης
*full in this indeed of-cheerfulness and merriment*
διακειμένου τοῦ συμποσίου, ἐπέστη ποθὲν Σμικρίνης
*being-disposed the drinking-party appeared from-somewhere Smicrines*
ὁ δύστροπος καὶ δύσκολος· εἵπετο δ' αὐτῷ πλῆθος
*the perverse and peevish followed and him a-crowd*
οἰκετῶν, οἳ δραμόντες ἐφ' ἡμᾶς ὥρμησαν. αὐτὸς δὲ ὁ
*of-servants who having-run at us rushed the-very and —*
Σμικρίνης πρῶτον μὲν τῇ καμπύλῃ παίει τὸν νῶτον
*Smicrines first indeed with-the crook strikes the back*
τοῦ Χαρικλέους, ἔπειτα ἐπὶ κόρρης πατάξας ἦγεν ὡς
*— of-Charicles then on the-temple having-hit he-led-(him) as*
ἔσχατον ἀνδράποδον. ἡμεῖς δὲ νεύματι μόνῳ τοῦ πρεσβύτου
*the-lowest slave we and at-a-nod alone of-the old-man*
εἰς τοὐπίσω τὰς χεῖρας ἐστρεβλούμεθα· τὰ δὲ μετὰ ταῦτα
*to the-back the hands were-twisted the and after these-things*
ξήνας ἡμᾶς ὑστριχίσιν οὐκ ὀλίγαις οὐδ' εὐαριθμήτοις,
*having-scraped us with-whips not few nor easily-counted*
τέλος ἀγαγὼν εἰς τὸ δεσμωτήριον ἀπέθετο ὁ ἄγριος
*at-last having-brought into the prison put-(us)-away the savage*
γέρων. καὶ εἰ μὴ συνήθης ὢν καὶ πολλὰ καθηδυπαθήσας
*old-man and if not acquainted being and much having-reveled*
μεθ' ἡμῶν ὁ χαρίεις Εὔδημος, εὐθύδικος ἀνὴρ ἐν τοῖς
*with us the charming Eudemus just man among the*
πρώτοις τοῦ συνεδρίου τῶν Ἀρεοπαγιτῶν, ἀνέῳξεν ἡμῖν τὸ
*first of-the council of-the Areopagites opened for-us the*
δεσμωτήριον, τάχ' ἂν καὶ τῷ δημίῳ παρεδόθημεν.
*prison perhaps — even to-the executioner we-would-have-been-handed-over*
οὕτως ὁ δριμὺς γέρων καὶ πικρὸς ἐπίμπρατο καθ' ἡμῶν,
*so the sharp old-man and bitter was-inflamed against us*

καὶ πάντα ἔπραττεν ὡς ἂν τὴν ἐπὶ θανάτῳ ἴσα τοῖς
*and everything did that — the to death equally-with the*
ἀνδροφόνοις καὶ ἱεροσύλοις ἀπαχθείημεν.
*murderers and temple-robbers we-might-be-led-off*

44

## Γνάθων Λειχοπίνακι

### *Gnathon to-Lichopinax*

Ἡμῶν ὡς Μεγαρέων ἢ Αἰγιέων οὐδεὶς λόγος, εὐδοκιμεῖ δὲ
*of-us as of-Megarians or of-Aegians no account is-in-favor and*
τὰ νῦν Γρυλλίων μόνος καὶ κατέχει τοῦ ἄστεος, καὶ πᾶσα
*the now Gryllion alone and he-possesses the town and every*
αὐτῷ καθάπερ Κράτητι τῷ Θήβηθεν κυνὶ ἀνέῳγεν ἡ
*to-him as to-Crates the from-Thebes dog has-opened the*
οἰκία. ἐμοὶ δοκεῖν, Θετταλίδα τινὰ γραῦν ἢ Ἀκαρνανίδα
*house to-me to-seem a-Thessalian some old-woman or an-Acarnanian*
φαρμακεύτριαν πεπορισμένος καταγοητεύει τοὺς ἀθλίους
*sorceress having-procured he-bewitches the wretched*
νεανίσκους. τί γὰρ καὶ στωμύλον ἔχει; τί δὲ ὁμιλητικὸν
*young-men what for even glib has-he what and sociable*
καὶ ἡδὺ φέρει; ἀλλ᾽ ἴσως εὐμενεστέροις ὄμμασιν ἐκεῖνον
*and sweet does-he-bring but perhaps with-kinder eyes him*
εἶδον αἱ Χάριτες, ὡς τοὺς μὲν ἀπομύττεσθαι πρὸς
*saw the Graces so-that those indeed to-be-gulled by*
αὐτοῦ, ἡμᾶς δὲ ἀγαπᾶν εἰ τὰς ἀπομαγδαλίας ὡς κυσί
*him us and to-be-content if the bread-scraps as to-dogs*
τις παραρρίψειε. τάχα δὲ οὐ γόης, ἀλλὰ τύχῃ κέχρηται
*someone should-throw perhaps and not a-wizard but fortune he-has-used*
δεξιᾷ. τύχη γὰρ παρὰ πάντα ἐστὶ τὰ τῶν ἀνθρώπων
*favorable fortune for throughout all is the of-the men*

πράγματα. οὐδὲν γὰρ ἐν ἀνθρώποις γνώμη, πάντα δὲ
*affairs nothing for among men judgment everything but*
τύχη, καὶ ταύτης ὁ τυχὼν ἡδὺς ἔστι καὶ νομίζεται.
*fortune and of-this the having-obtained sweet is and is-thought*

45

## Τραπεζολείκτης Ψιχοδιαλέκτῃ

*Trapezoleictes to-Psichodialectes*

Ἤλγησα, ὦ καλὲ Ψιχίων, ἀκούσας τὴν συμβᾶσάν σοι περὶ
*I-was-grieved O fine Psichion having-heard the having-befallen you about*
τὸ πρόσωπον συμφοράν. εἰ δὲ καὶ τοῦτον ἐγένετο τὸν
*the face misfortune if and indeed this happened the*
τρόπον ὃν διηγήσατο ἡμῖν ἐπανελθοῦσα τοῦ συμποσίου
*way which told to-us having-come-back from-the drinking-party*
Λειριόνη, λέγω δὴ τὴν παιδίσκην Φυλλίδος τῆς ψαλτρίας,
*Leirione I-mean indeed the maid of-Phyllis the harp-girl*
πόλεμον ὑπέστης καὶ πόρθησιν ἱκανὴν ἄνευ μηχανῆς καὶ
*a-war you-endured and sacking enough without engine and*
ἑλεπόλεως. ἀκούω γὰρ τὸν καταπύγονα καὶ θηλυδρίαν
*siege-engine I-hear for the catamite and effeminate*
περικατᾶξαι σοι τὴν φιάλην, ὡς τὰ θραύματα λωβήσασθαί
*to-have-broken-over your the bowl so-that the fragments to-have-mutilated*
σου τήν τε ῥῖνα καὶ τὴν δεξιὰν σιαγόνα, καὶ τοῦ αἵματος
*your both the nose and the right jaw and of-the blood*
ἐνεχθῆναι κρουνούς, οἵους ὕδατος αἱ ἐν Γερανείᾳ πέτραι
*to-have-been-carried streams such-as of-water the in Geraneia rocks*
σταλάττουσι. τίς ἔτι ἀνέξεται τῶν κακοδαιμόνων τούτων,
*drip who any-more will-endure of-the wretches these*
τοσούτου τὸ γαστρίζεσθαι πωλούντων; ὠνούμεθα γὰρ
*at-so-great-(a-price) the to-stuff-the-belly selling we-buy for*

κινδύνου τὸ ζῆν, καὶ τὸν ἐκ λιμοῦ θάνατον δεδιότες
*at-the-price-of-danger the to-live and the from hunger death fearing*
τὴν μετὰ κινδύνου πλησμονὴν ἀσπαζόμεθα.
*the with danger surfeit we-embrace*

46

## Στεμφυλοχαίρων Τραπεζοχάροντι

*Stemphylochaeron to-Trapezocharon*

Ὡς εὐτυχῶς, ὡς μακαρίως πέπραγα. ἐρήσῃ με ἴσως τίνα
*how fortunately how blessedly I-have-fared you-will-ask me perhaps in-what*
τρόπον, ὦ βέλτιστε Τραπεζόχαρον. ἐγὼ δῆτά σοι φράσω
*way O best Trapezocharon I indeed to-you will-tell*
καὶ πρὶν ἐρέσθαι. ἦγε μὲν ἡ πόλις, ὡς οἶσθα, τὴν
*even before to-ask was-celebrating indeed the city as you-know the*
κουρεῶτιν ἑορτήν· ἐγὼ δὲ παραληφθεὶς ἐπὶ δεῖπνον τέρπειν,
*Cureotis feast I and taken-along to dinner to-amuse*
ὠρχούμην τὸν κόρδακα. οἱ δαιτυμόνες δὲ ἐκ φιλονεικείας
*I-danced the cordax the banqueters and from rivalry*
ἔπινον, ἕως τῆς ἁμίλλης εἰς ἄπειρον προχωρούσης κῶμα
*drank until the contest into the-boundless advancing a-stupor*
κατέσχε τὸ συμπόσιον καὶ πάντας ὕπνος ὑπειλήφει
*seized the drinking-party and all sleep had-taken-hold-of*
νυστακτὴς ἄχρι καὶ αὐτῶν τῶν οἰκετῶν· ἐγὼ δὲ
*drowsy as-far-as even very the servants I and*
περιέβλεπον μὲν εἴ τι τῶν ἀργυρῶν σκευῶν ὑφελέσθαι
*looked-around indeed whether any of-the silver vessels to-steal*
δυναίμην· ὡς δὲ ταῦτα ἔτι νηφόντων ἐξ ὀφθαλμῶν
*I-might-be-able when but these still sober out-of eyes*
ἐγεγόνει καὶ ἦν ἐν ἀσφαλεῖ, τὸ χειρόμακτρον ὑπὸ μάλης
*had-become and was in safety the napkin under arm*

λαβὼν ἐξηλλόμην *** ὡς ἐν τῇ φυγῇ τοῖν διαβάθροιν
*having-taken I-leapt-out (lacuna) so-that in the flight of-the two-slippers*
θάτερον ἀποβαλεῖν. ὅρα δὲ ὡς ἔστι πολυτελέστερον
*the-one to-lose see but how it-is more-costly*
σινδόνης Αἰγυπτίας καὶ ἁλουργοῦ πορφύρας τῆς Ἑρμιονίδος,
*than-linen Egyptian and sea-purple purple the Hermionian*
λεπτὸν εἰς ὑπερβολὴν καὶ πολύτιμον ὕφασμα. εἰ τοῦτο
*fine to excess and precious fabric if this*
ἀδεῶς ἀπεμπολήσαιμι, γαστριῶ σε ἀγαγὼν ἐπὶ τὸν
*fearlessly I-should-sell I-will-feast you having-brought to the*
πανδοκέα Πιθακίωνα. πολλὰς γὰρ ὁμοῦ πολλάκις
*innkeeper Pithacion many for together often*
παροινίας ἀνέτλημεν, καὶ χρή σε τὸν κοινωνὸν τῶν
*drunken-outrages we-have-endured and it-is-needful you the partner of-the*
δυστυχημάτων μερίτην γενέσθαι καὶ τῆς εὐτυχούσης ἡμέρας.
*misfortunes a-sharer to-become also of-the fortunate day*

47

## Ὡρολόγιος Λαχανοθαυμάσῳ

*Horologius to-Lachanothaumasus*

Ἑρμῇ κερδῷε καὶ ἀλεξίκακε Ἡράκλεις, ἀπεσώθην. οὐδὲν
*Hermes of-gain and averter-of-evil Heracles I-came-off-safe nothing*
δεινὸν ἔτι γένοιτο. προχόην ὑφελόμενος ἀργυρᾶν Φανίου
*terrible any-more may-happen a-jug having-stolen silver of-Phanias*
τοῦ πλουσίου δρόμῳ δοὺς φέρεσθαι (ἦν γὰρ ἀωρία
*the rich to-running having-given to-be-borne was for the-dead-hour*
τῆς νυκτός) ἠπειγόμην σώζειν ἑαυτόν. κύνες δὲ ἐξαίφνης
*of-the night I-was-hastening to-save myself dogs and suddenly*
οἰκουροὶ περιχυθέντες ἄλλος ἀλλαχόθεν χαλεποὶ καὶ βαρεῖς
*house-guards having-poured-round other from-elsewhere harsh and heavy*

τὴν ὑλακὴν ἐπήεσαν Μολοττοὶ καὶ Κνώσιοι, ὑφ᾽ ὧν οὐδὲν
*in-the barking came-on Molossians and Cnossians by whom nothing*
ἐκώλυσέ με ὡς ἠδικηκότα τὴν Ἄρτεμιν διεσπάσθαι
*prevented me as having-wronged — Artemis to-have-been-torn-apart*
μέσον, ὡς μηδὲ τὰ ἀκρωτήρια εἰς τὴν ὑστεραίαν
*in-the-middle so-that not-even the extremities for the next-day*
περιλειφθῆναι πρὸς ταφὴν τοῖς ἑτοίμοις εἰς ἔλεον καὶ
*to-be-left-over for burial to-those ready for pity and*
συμπάθειαν. εὑρὼν οὖν ὑδρορρόαν ἀνεῳγότα οὐκ εἰς
*sympathy having-found then a-drain open not into*
βάθος ἀλλ᾽ ἐπιπολῆς, καὶ ὑποδὺς εἰς τοῦτον κατεκρύβην.
*depth but at-the-surface and having-slipped into it I-hid-myself*
ἔτι σοι ταῦτα τρέμων καὶ παλλόμενος λέγω. ἑωσφόρου
*still to-you these-things trembling and quivering I-say the-morning-star*
δὲ ἀνασχόντος τῶν μὲν οὐκ ᾐσθόμην οὐκέθ᾽ ὑλακτούντων
*and having-risen them indeed not I-perceived no-longer barking*
(οἴκοι γὰρ πάντες ἐδέδεντο), αὐτὸς δὲ εἰς Πειραιᾶ δραμὼν
*at-home for all had-been-tied-up I-myself and to Piraeus having-run*
νηὶ Σικελικῇ λύειν μελλούσῃ τὰ πρυμνήσια περιτυχὼν
*a-ship Sicilian to-loose being-about the stern-cables having-chanced-upon*
ἀπεδόμην τῷ ναυκλήρῳ τὴν προχόην. καὶ νυνὶ τὸ τίμημα
*I-sold to-the shipmaster the jug and now the price*
ἔχων νένασμαι τοῖς κέρμασι καὶ νεόπλουτος ἐπανελήλυθα,
*having I-am-stuffed with-the coins and newly-rich I-have-come-back*
καὶ τοσοῦτον ῥιπίζομαι ταῖς ἐλπίσιν ὡς ἐπιθυμεῖν κόλακας
*and so-much am-fanned by-the hopes that to-desire flatterers*
τρέφειν καὶ κεχρῆσθαι παρασίτοις, οὐ παρασιτεῖν αὐτός.
*to-keep and to-use parasites not to-play-the-parasite myself*
ἀλλ᾽ ἢν τουτὶ τὸ πορισθὲν ἀργύριον ἀπαναλώσω, πάλιν
*but if this-here the procured silver I-spend-up again*

ἐπὶ τὴν ἀρχαίαν ἐπιτήδευσιν τρέψομαι. οὐδὲ γὰρ κύων
*to the old practice I-will-turn not-even for a-dog*
σκυτοτραγεῖν μαθοῦσα τῆς τέχνης ἐπιλήσεται.
*to-chew-leather having-learned the craft will-forget*

BOOK III.48–57 · PARASITES

*Parasites write of what their dinners cost them: pitch on the head and a bladder of blood burst over it at a tragic actor's victory party, the halter held off only by a coming wedding feast, a young patron's fortune draining into a courtesan, and the brutal games of Corinthian hosts. One refuses a part in an adultery that will end in torture, another eats stolen dishes in the Stoa, another is beaten for his dice winnings. At Scamonides' feast the philosophers upstage the parasites: the Stoic snores, the Pythagorean hums, the Peripatetic demands cakes, the Epicurean fondles the harp-girl, and the Cynic urinates and couples in public. One parasite rebukes a boastful colleague; another's drunken jibe at a tutor has shrunk his gifts.*

48

## Κεφαλογλύπτης Μαππαφανίσῳ

*Cephaloglyptes to-Mappaphanisus*

Κακὸς κακῶς ἀπόλοιτο καὶ ἄφωνος εἴη Λικύμνιος ὁ τῆς
*bad badly may-he-perish and voiceless may-he-be Licymnius the of-the*
τραγῳδίας ὑποκριτής. ὡς γὰρ ἐνίκα τοὺς ἀντιτέχνους
*tragedy actor when for he-was-beating the rivals*
Κριτίαν τὸν Κλεωναῖον καὶ Ἵππασον τὸν Ἀμβρακιώτην
*Critias the Cleonaean and Hippasus the Ambraciot*
τοὺς Αἰσχύλου Προπομποὺς τορῷ τινι καὶ γεγωνῷ τῷ
*the of-Aeschylus Escorts with-piercing some and loud the*
φωνήματι χρησάμενος, γαῦρος ἦν καὶ κιττοστεφὴς ἦγε
*voice having-used proud he-was and ivy-crowned he-held*
συμπόσιον. ἔνθα παραληφθεὶς φεῦ τῶν κακῶν οἷα ὑπέμεινα,
*a-drinking-party where taken-along alas of-the evils what I-endured*

τοῦτο μὲν πιττούμενος τὴν κεφαλὴν καὶ γάρῳ τοὺς
*on-this-hand indeed being-pitched-on the head and with-fish-sauce the*
ὀφθαλμοὺς ῥαινόμενος, τοῦτο δὲ ἀντὶ πλακοῦντος, τῶν
*eyes being-sprinkled on-that and instead-of cake the*
ἄλλων ἄμητας ἐσθιόντων καὶ σησαμοῦντας, αὐτὸς μέλιτι
*others milk-cakes eating and sesame-cakes I-myself with-honey*
δεδευμένους λίθους ἀπέτρωγον. ἡ πασῶν δὲ ἰταμωτάτη,
*soaked stones gnawed the of-all and most-impudent*
τὸ ἐκ Κεραμεικοῦ πορνίδιον, ἡ μέτοικος, ἡ Φενεᾶτις
*the from Ceramicus little-whore the resident-alien the Pheneatian*
Ὑακινθίς, κύστιν αἵματος πληρώσασα καταφέρει μου τῆς
*Hyacinthis a-bladder with-blood having-filled brings-down on-my the*
κεφαλῆς, καὶ ὁμοῦ τῷ κτύπῳ λελούμην τῷ αἵματι.
*head and together-with the crack I-was-bathed in-the blood*
καὶ τῶν μὲν εὐωχουμένων πολὺς καὶ καπυρὸς ἐξεχύθη
*and of-the indeed feasters much and loud poured-out*
γέλως, ἐγὼ δὲ ὧν ἔπαθον μισθὸν οὐκ ἀπηνεγκάμην
*laughter I and of-what I-suffered pay not I-carried-off*
ἄξιον, ἀλλά μοι γέγονε τῶν ὕβρεων ἀμοιβὴ τὸ μέτρον
*worthy but for-me has-been of-the insults recompense the measure*
τῆς γαστρός, πέρα δὲ οὐδέν. μήτε οὖν ἐς νέωτα εἴη
*of-the belly beyond and nothing neither then for next-year may-be-be*
μήτε μὴν νικῴη ὁ θεοῖς ἐχθρὸς Λικύμνιος, ὃν ἐγὼ
*nor truly may-he-win the to-gods hateful Licymnius whom I*
τῆς ἀχαρίστου φωνῆς ἕνεκεν ὀρθοκόρυζον καλεῖσθαι πρὸς
*for-the graceless voice sake stuffed-nose to-be-called by*
ἡμῶν καὶ τοῦ χοροῦ τῶν Διονυσοκολάκων ἔκρινα. ἔρρωσο.
*us and the chorus of-the Dionysus-flatterers decided farewell*

49

## Καπνοσφράντης Ἀριστομάχῳ

*Capnosphrantes to-Aristomachus*

Ὦ δαῖμον ὅς με κεκλήρωσαι καὶ εἴληχας, ὡς πονηρὸς
*O spirit who me have-had-by-lot and have-gotten how wicked*
εἶ καὶ λυπεῖς ἀεὶ τῇ πενίᾳ συνδέων. ἦν γὰρ ἀπορία
*you-are and grieve-(me) always to-the poverty binding if for lack*
τοῦ καλοῦντος γένηται, ἀνάγκη με σκάνδικας ἐσθίειν
*of-the-one inviting there-be necessity me chervil to-eat*
καὶ γήθυα ἢ πόας ἀναλέγειν καὶ τῆς ἐννεακρούνου
*and leeks or herbs to-gather and from-the nine-spouts*
πίνοντα πίμπλασθαι τὴν γαστέρα. εἶτα ἕως μὲν τὸ σῶμα
*drinking to-fill the belly then while indeed the body*
τὰς ὕβρεις ὑπέμενε καὶ ἦν ἐν ὥρᾳ τοῦ πάσχειν νεότητι
*the insults endured and was in season of-the to-suffer with-youth*
καὶ ἀκμῇ νευρούμενον, φορητὸς ἡ ὕβρις· ἐπεὶ δ᾽ ἤδη ἐγώ
*and prime braced bearable the insult since but now I*
σοι μεσαιπόλιος, καὶ τὸ λειπόμενον τοῦ βίου πρὸς γῆρας
*to-you half-gray and the remaining of-the life toward old-age*
ὁρᾷ, τίς ἴασις τῶν κακῶν; Ἁλιαρτίου σχοινίου χρεία, καὶ
*looks what remedy of-the evils of-a-Haliartian rope need and*
κρεμήσομαι πρὸ τοῦ διπύλου, ἢν μή τι δεξιὸν ἡ τύχη
*I-will-hang before the dipylon if not something favorable the fortune*
βουλεύσηται. εἰ δὲ καὶ τοῖς αὐτοῖς ἐπιμείνειεν, οὐ πρότερον
*plans if and even in-the same-things it-should-persist not before*
στραγγαλιῶ τὸν τράχηλον, πρὶν τραπέζης ἀπολαῦσαι
*I-will-strangle the neck before a-table to-enjoy*
πολυτελοῦς· οὐκ εἰς μακρὰν δὲ ὁ περίβλεπτος οὗτος καὶ
*costly not to far-off and the admired this and*
ἀοίδιμος ἔσται γάμος Χαριτοῦς καὶ Λεωκράτους, μετὰ τὴν
*sung-of will-be wedding of-Charito and Leocrates after the*

ἕνην καὶ νέαν τοῦ Πυανεψιῶνος, εἰς ὃν πάντως ἢ παρὰ
*old and new of-the Pyanepsion to which by-all-means either during*
τὴν πρώτην ἡμέραν ἢ τοῖς ἐπαυλίοις κεκλήσομαι. δεῖ
*the first day or on-the after-feast I-will-be-invited there-is-need*
γὰρ θυμηδίας καὶ παρασίτων τοῖς γάμοις, καὶ ἄνευ ἡμῶν
*for of-delight and of-parasites for-the weddings and without us*
ἀνέορτα πάντα καὶ συῶν οὐκ ἀνθρώπων πανήγυρις.
*unfestive all-things and of-swine not of-men a-festival*

50

## Βουκοπνίκτης Ἀρτοπύκτῃ

*Bucopnictes to-Artopyctes*

Οὐκ ἀνέχομαι ὁρῶν Ζευξίππην τὴν ἱππόπορνον ἀπηνῶς τῷ
*not I-endure seeing Zeuxippe the horse-whore cruelly the*
μειρακίῳ χρωμένην. οὐ γὰρ δαπανᾶται εἰς αὐτὴν χρυσίον
*youth treating not for is-spent on her gold*
μόνον καὶ ἀργύριον, ἀλλ᾽ ἤδη καὶ συνοικίας καὶ ἀγρούς. ἡ
*only and silver but already also tenement-houses and farms she*
δὲ ἐπὶ πλέον ἐκτύφεσθαι τὸν ἔρωτα τούτῳ μηχανωμένη τοῦ
*and for more to-be-inflamed the love for-this-one contriving the*
Εὐβοέως ἐρᾶν προσποιεῖται τοῦ νεανίσκου, ἵνα καὶ τούτου
*Euboean to-love pretends the young-man so-that also this-one*
κατασπαθήσασα οὕτως ἐπ᾽ ἄλλον τρέψῃ τὸν ἔρωτα.
*having-squandered thus to another she-may-turn the love*
ἐγὼ δὲ ὀδυνῶμαι τὴν καρδίαν ὁρῶν ὑπορρέοντα τοσοῦτον
*I and am-pained-in the heart seeing flowing-away so-great*
πλοῦτον, ὃν οἱ μακαρῖται αὐτῷ Λυσίας καὶ Φανοστράτη
*wealth which the late-lamented to-him Lysias and Phanostrate*
κατέλιπον. ἃ γὰρ ἐκεῖνοι κατ᾽ ὀβολὸν συνήγαγον, ἀθρόως

ἀναλοῖ τὸ πολύκοινον τοῦτο καὶ αἰσχρότατον γύναιον.
*spends the common-to-many this and most-shameful little-woman*
πάσχω μὲν οὖν τι καὶ ἐπὶ τῷ μειρακίῳ· κύριος γὰρ
*I-feel indeed then something also for the youth master for*
γενόμενος τῆς οὐσίας πολλὴν τὴν εἰς ἡμᾶς φιλανθρωπίαν
*having-become of-the property much the toward us kindness*
ἐνεδείξατο· ὁρῶ δὲ καὶ τὰ ἡμέτερα σκάζοντα· εἰ γὰρ εἰς
*he-showed I-see and also the our-affairs limping if for into*
ταύτην ἅπαντα τεθείη τὰ προσόντα τούτῳ τῷ βελτίστῳ,
*her all should-be-put the possessions of-this the best*
καλήν, ὦ θεοί, καλῶς ἀπολάψομεν τὴν πλησμονήν. ἔστι
*fine O gods finely we-shall-lap-up the surfeit he-is*
γὰρ ὡς οἶσθα ἁπλοϊκὸς ὁ Φίληβος καὶ πρὸς ἡμᾶς
*for as you-know simple — Philebus and toward us*
τοὺς παρασίτους ἐπιεικὴς καὶ μέτριος τὸν τρόπον, ᾠδαῖς
*the parasites kindly and moderate in-the manner by-songs*
μᾶλλον καὶ γέλωτι ἢ ταῖς εἰς ἡμᾶς ὕβρεσι θελγόμενος.
*rather and laughter than by-the toward us insults charmed*

51

## Λαιμοκύκλωψ Κρεολώβῃ

*Laemocyclops to-Creolobes*

Ἰδοὺ μετὰ τὸν Εὐρώταν καὶ τὸ Λερναῖον ὕδωρ καὶ τὰ
*look after the Eurotas and the Lernaean water and the*
Πειρήνης νάματα ἔρωτι Καλλιρρόης ἐκ Κορίνθου πάλιν
*of-Peirene streams from-love of-Callirhoe from Corinth again*
Ἀθήναζε κατεπείγομαι. οὐ γάρ με τῶν τρυφημάτων τῶν
*to-Athens I-am-hurrying not for me of-the luxuries of-the*
ἐν τούτοις οὐδὲν ἤρεσεν, ἀλλ᾽ ἕτοιμος ἐντεῦθεν ἀποσοβεῖν
*in these anything pleased but ready from-here to-rush-off*

καὶ σπεύδειν ὡς ὑμᾶς. ἀχάριστοι γὰρ ὤφθησαν οὗτοι καὶ
*and to-basten to you graceless for appeared these and*
ἥκιστα συμποτικοί, καὶ πλείους παρ᾽ αὐτοῖς αἱ παροινίαι
*least convivial and more among them the drunken-outrages*
τῶν ἀπολαύσεων. ὡς ἄμεινον ἐμοὶ ὀλύνθους ἢ παλάθας
*than-the enjoyments how better for-me unripe-figs or fig-cakes*
ἐπιμασᾶσθαι τῶν Ἀττικῶν, ἢ τοῦ παρὰ τούτοις χρυσίου
*to-chew of-the Attic than the among these gold*
ἀποδρέπεσθαι. οἷα γὰρ καὶ νεουργεῖν ἐπιχειροῦσιν
*to-pluck what-things for even to-innovate they-attempt*
ἀναγκάζοντες ἀσκωλιάζοντας πίνειν, διάπυρόν τε τὸν οἶνον
*forcing hopping-on-wineskins to-drink fiery and the wine*
καὶ θερμὸν ἄνευ τοῦ πρὸς ὕδωρ κράματος καταχέοντες,
*and hot without the with water mixture pouring-down*
εἶτ᾽ ὀστέα κῶλά τε καὶ ἀστραγάλους καθάπερ τοῖς κυσὶ
*then bones legs both and knucklebones as to-the dogs*
παραρριπτοῦντες καὶ νάρθηκας ἐπιρρηγνύντες καὶ σκύτεσι
*throwing and fennel-stalks breaking-on-(us) and with-leathers*
καὶ τοῖς ἄλλοις ἱμᾶσιν ἀντὶ παιδιᾶς πλήττοντες. ἐμοὶ
*and the other straps instead-of play striking for-me*
γένοιτο, πρόμαχε Ἀθηνᾶ καὶ πολιοῦχε τοῦ ἄστεος, Ἀθήνησι
*may-it-be champion Athena and city-guardian of-the town at-Athens*
καὶ ζῆσαι καὶ τὸν βίον ἀπολιπεῖν. ἄμεινον γὰρ πρὸ τῆς
*both to-live and the life to-leave better for before the*
Διομηίδος πύλης ἢ πρὸ τῶν Ἱππάδων ἐκτάδην κεῖσθαι
*Diomeian gate or before the Hippades stretched-out to-lie*
νεκρὸν τύμβου οὐ περιχυθέντος, ἢ τῆς Πελοποννησίων
*dead a-mound not having-been-heaped than the of-Peloponnesians*
εὐδαιμονίας ἀνέχεσθαι.
*prosperity to-endure*

52

## Λοπαδίων Εὐκνίσῳ

*Lopadion to-Eucnisus*

Οὔ μοι μέλει· ποιούντων ὅσα καὶ βούλονται
*not to-me it-is-a-concern let-them-do as-much-as even they-wish*
ῥιψοκίνδυνοι Γρόνθων καὶ Σαρδανάπαλλος· ἐμὲ γὰρ
*reckless Gronthon and Sardanapallus me for*
κοινωνῆσαι τῆς ἀτόπου πράξεως ἀδύνατον, οὐδ' εἰ
*to-share of-the strange deed impossible not-even if*
μάντευμά μοι ἐκ τῆς Δωδωναίας δρυὸς ἐπιτρέποι τὸ
*an-oracle to-me from the Dodonaean oak should-allow the*
δρᾶμα. πάντως οὖν ἀφεκτέον. ὑποπειρῶσι γὰρ τὴν
*deed by-all-means then I-must-abstain they-are-tempting for the*
παλλακὴν τοῦ τῆς οἰκίας δεσπότου, καὶ ἤδη αὐτοῖς ἡ
*concubine of-the of-the house master and already for-them the*
πρᾶξις εἰς ἀκμὴν προκεχώρηκε. καὶ οὐκ ἀρκοῦνται τῇ
*deed to a-peak has-advanced and not they-are-content with-the*
τῶν ἀφροδισίων ἀθέσμῳ πλησμονῇ, ἀλλὰ καὶ τὰ ἐκ
*of-the sex lawless surfeit but also the from*
τῆς οἰκίας σκεύη καθ' ἓν ἐκλαμβάνουσι. καὶ ἴσως μὲν
*the house vessels by one they-take-out and perhaps indeed*
ἄχρι τινὸς λήσεται τοῦργον πραττόμενον, πάντως δέ
*till some-point will-escape-notice the-deed being-done surely but*
ποτε ἢ λάλος γείτων ἢ ψίθυρος οἰκέτης ἀγορεύσει τὸ
*sometime either a-chattering neighbor or a-whispering slave will-proclaim the*
πρᾶγμα εἰς τοὐμφανές, καὶ ἀνάγκη μετὰ πῦρ καὶ σίδηρον
*affair into the-open and necessity after fire and iron*
καὶ τὰς πολλὰς βασάνους τέλος αὐτοῖς γενέσθαι τῆς ἡδονῆς
*and the many tortures the-end for-them to-be of-the pleasure*

τὸ κώνειον ἢ τὸ βάραθρον. ἀφειδῶς γὰρ χρώμενοι τῷ
*the hemlock or the pit unsparingly for using the*
τολμήματι ἰσόρροπον τῇ πράξει τὴν τιμωρίαν ἐκτίσουσιν.
*daring equal to-the deed the punishment they-will-pay*

53

## Ἀκρατολύμας Χωνοκράτει

*Acratolymas to-Chonocrates*

Χθὲς Καρίωνος περὶ τὸ φρέαρ ἀσχολουμένου εἰσέφρησα εἰς
*yesterday Carion about the well being-busy I-slipped into*
τοὐπτάνιον· ἔπειτα εὑρὼν λοπάδα εὖ μάλα κεκαρυκευμένην
*the-kitchen then having-found a-dish well very seasoned*
καὶ ἀλεκτρυόνα ὀπτὸν χύτραν τε μεμβράδας ἔχουσαν
*and a-cock roasted a-pot and sprats having*
καὶ ἀφύας Μεγαρικὰς ἐξήρπασα, καὶ ἀποπηδήσας ποῖ
*and anchovies Megarian I-snatched and having-leapt-away where*
καταχθείην ἐζήτουν καὶ εὐκαίρως ἐμφάγοιμι μόνος. ἀπορίᾳ
*I-might-put-in I-sought and conveniently might-eat-them alone for-lack*
δὲ τόπου δραμὼν ἐπὶ τὴν ποικίλην (καὶ γὰρ οὐκ ἠνώχλει
*and of-place having-run to the painted-(stoa) and for not troubled*
ταύτην οὐδὲ εἷς τῶν ἀδολέσχων τουτωνὶ φιλοσόφων) κεῖθι
*it even one of-the prating these-here philosophers there*
τῶν πόνων ἀπέλαυον. ἀνανεύσας δὲ τῆς λοπάδος ὁρῶ
*of-the labors I-was-enjoying having-looked-up and from-the dish I-see*
προσιόντας τῶν ἀπὸ τῆς τηλίας τινὰς νεανίσκων, καὶ
*approaching of-the from the dice-board some young-men and*
δείσας τὰ μὲν βρώματα ὄπισθεν ἀπεθέμην, αὐτὸς δὲ εἰς
*having-feared the indeed foods behind I-put I-myself and on*
τοὔδαφος ἐκείμην κρύπτων τὰ κλέμματα εὐχόμενός τε τοῖς
*the-ground lay hiding the stolen-things praying and to-the*

ἀποτροπαίοις τὸ νέφος παρελθεῖν χόνδρους ὑποσχόμενος
*averting-gods the cloud to-pass-by grains promising*
λιβανωτοῦ ἱκανούς, οὓς οἴκοι ἀναλεξάμενος τῶν ἱερῶν
*of-frankincense enough which at-home having-picked-up from-the sacrifices*
ἔχω εὖ μάλα εὐρωτιῶντας· καὶ οὐκ ἠστόχησα· οἱ θεοὶ γὰρ
*I-have well very moldy and not I-missed the gods for*
αὐτοὺς ἄλλην ὁδὸν ἔτρεψαν. κἀγὼ σπουδῇ καταβροχθίσας
*them another road turned and-I in-haste having-gulped-down*
πάνθ' ὅσα ἐνέκειτο τοῖς σκεύεσι, φίλῳ πανδοκεῖ τὴν
*all as-much-as lay in-the vessels to-a-friendly innkeeper the*
χύτραν καὶ τὸ λοπάδιον, τὰ λείψανα τῶν κλεμμάτων,
*pot and the little-dish the remnants of-the thefts*
χάρισμα δοὺς ἔχειν ἀπεχώρησα, ἐπιεικής τις καὶ
*as-a-gift having-given to-keep I-went-off decent someone and*
δεξιὸς ἐκ τῶν δωρημάτων ἀναφανείς.
*clever from the gifts having-appeared*

54

## Χυτρολείκτης Πατελλοχάροντι

*Chytroleictes to-Patellocharon*

Τί δακρύω, ἴσως ἐρήσῃ με, ἢ πόθεν κατέαγα τὸ κρανίον,
*why do-I-weep perhaps you-will-ask me or whence am-I-broken-in the skull*
ἢ πῶς τὸ ἀνθηρὸν τοῦτο εἰς μέρη κατερρωγὸς ἱμάτιον
*or how the flowery this into pieces torn cloak*
φορῶ; ἐνίκησα κυβεύων, ὡς μήποτ' ὤφελον. τί γὰρ
*do-I-wear I-won playing-dice as never I-should-have what for*
ἔδει με ἀσθενέστερον ὄντα ῥωμαλέοις συνεξετάζεσθαι
*was-needful me weaker being with-sturdy to-be-matched*
νεανίαις; ἐπεὶ γὰρ εἰς ἐμαυτὸν ὅλας τὰς ἐκθέσεις
*young-men when for to myself all the stakes*

συνελεξάμην, ἀπορία δὲ ἦν αὐτοῖς παντελὴς ἀργυρίου, ἐπ'
*I-collected lack and was to-them complete of-silver at*
ἐμὲ πάντες ὥρμησαν. καὶ οἱ μὲν πὺξ ἔπαιον, ἄλλοι
*me all rushed and the-ones indeed with-the-fist struck others*
δὲ λίθοις ἐχρῶντο, οἱ δὲ διέσχιζον τὸ ἱμάτιον. ἐγὼ
*and stones used the-others and tore the cloak I*
δ' ἀπρὶξ τῶν κερμάτων εἰχόμην, ἀποθανεῖν πρότερον ἢ
*and tightly the coins held to-die sooner than*
προέσθαι τι ἐκείνοις τῶν μοι πεπορισμένων αἱρούμενος·
*to-give-up anything to-them of-the to-me procured choosing*
καὶ δὴ μέχρι γέ τινος ἀντέστην γεννικῶς καὶ τὰς
*and indeed till at-least some-point I-resisted nobly both the*
φορὰς τῶν πληγῶν ὑπομένων καὶ τὰς ἐκστροφὰς τῶν
*volleys of-the blows enduring and the wrenchings of-the*
δακτύλων ἀνεχόμενος, καὶ ἤμην οἷά τις Σπαρτιάτης ἀνὴρ
*fingers bearing and I-was like some Spartiate man*
ἐπὶ τοῦ βωμοῦ τῆς Ὀρθίας τυπτόμενος. ἀλλ' οὐκ ἦν
*at the altar — of-Orthia being-flogged but not it-was*
Λακεδαίμων ἐν ᾗ ταῦτα ὑπέμενον, ἀλλ' Ἀθῆναι καὶ
*Lacedaemon in which these-things I-endured but Athens and*
τῶν Ἀθήνησι κυβευτῶν οἱ ἐξωλέστατοι. τέλος δ' οὖν
*of-the at-Athens dice-players the most-abandoned at-last and then*
λειποθυμήσας ἀφῆκα τοῖς ἐναγέσι λαμβάνειν. οἱ δὲ καὶ
*having-fainted I-let to-the accursed to-take they and also*
τὸ προκόλπιον διηρεύνησαν, καὶ τὰ ἐν τούτῳ ἐγκείμενα
*the fold-of-the-cloak searched and the-things in it lying*
φέροντες ᾤχοντο, τοῦτ' ἐμοῦ λῷον ἡγησαμένου τὸ ζῆν
*carrying went-off this me better having-thought the to-live*
δίχα χρημάτων ἢ μετὰ χρημάτων τεθνάναι.
*without money than with money to-be-dead*

55

## Αὐτόκλητος Ἑτοιμαρίστῳ

*Autocletus to-Hetoemaristus*

Ὀλίγα ἢ οὐδὲν διαφέρουσι τῶν ἰδιωτῶν οἱ σεμνοὶ
*little or nothing differ from-the laymen the august-ones*
καὶ τὸ καλὸν καὶ τὴν ἀρετὴν ἐξυμνοῦντες· τούτους
*both the beautiful and the virtue extolling these*
λέγω τοὺς ἐργολαβοῦντας τὰ μειράκια. οἷον γὰρ οἷον
*I-mean those making-a-business-of the youths what for what*
ἔλαθέ σε συμπόσιον Σκαμωνίδου γενέσια τῆς θυγατρὸς
*escaped you a-drinking-party of-Scamonides the-birthday of-the daughter*
ἑορτάζοντος. καλέσας γὰρ ἔναγχος οὐκ ὀλίγους τῶν
*celebrating having-invited for lately not few of-those*
προὔχειν δοκούντων Ἀθήνησι πλούτῳ καὶ γένει, ᾠήθη
*to-excel seeming at-Athens in-wealth and in-birth he-thought*
δεῖν καὶ τοῖς φιλοσοφοῦσι κοσμῆσαι τὴν εὐωχίαν.
*to-be-needful also with-those philosophizing to-adorn the feast*
παρῆν οὖν ἐν πρώτοις Ἐτεοκλῆς ὁ στωικὸς οὗτος, ὁ
*was-present then among the-first Eteocles the stoic this the*
πρεσβύτης, ὁ κουριῶν τὸ γένειον, ὁ ῥυπαρός, ὁ
*old-man the-one needing-a-trim the beard the dirty the-one*
τὴν κεφαλὴν αὐχμηρός, ὁ ῥυσότερον τῶν βαλαντίων
*in-the head squalid the-one more-wrinkled than-the purses*
ἔχων τὸ πρόσωπον. παρῆν δὲ καὶ Θεμισταγόρας ὁ ἐκ
*having the face was-present and also Themistagoras the from*
τοῦ περιπάτου, ἀνὴρ οὐκ ἄχαρις ὀφθῆναι, οὔλῃ τῇ γένυι
*the peripatos a-man not graceless to-see with-curly the chin*
λαμπρυνόμενος. ἦν δὲ καὶ ὁ Ἐπικούρειος Ζηνοκράτης,
*shining was and also the Epicurean Zenocrates*
οὐκ ἀτημέλητος τοὺς κικίννους καὶ ἐπὶ βαθεῖ τῷ πώγωνι
*not neglected-in the ringlets and on deep the beard*

σεμνυνόμενος, ὅ τε ἀοίδιμος (τοῦτο γὰρ πρὸς ἁπάντων
*priding-himself the and famous this for by all*
ἐκέκλητο) Ἀρχίβιος ὁ Πυθαγορικός, ὠχρον ἐπὶ τοῦ
*he-was-called Archibius the Pythagorean paleness on the*
προσώπου πολὺν ἐπιβεβλημένος, πλοκάμους ἀπ' ἄκρας τῆς
*face much having-on locks from top of-the*
κεφαλῆς ἄχρι στέρνων αὐτῶν ἀπαιωρῶν, ὀξὺ καὶ ἐπίμηκες
*head to chest itself hanging sharp and long*
τὸ γένειον καθεικώς, τὴν ῥῖνα ἐπικαμπής, τὸ στόμα
*the beard having-let-down in-the nose hooked in-the mouth*
ἐπιχειλής, ὡς ἀπὸ τοῦ πεπρῖσθαι καὶ λίαν μεμυκέναι
*thick-lipped as from the to-have-been-pressed and too-much to-have-been-closed*
τὴν ἐχεμυθίαν ὑποσημαίνειν. ἐξαίφνης δὲ καὶ Παγκράτης
*the silence to-hint suddenly and also Pancrates*
ὁ κύων ῥύμῃ τοὺς πολλοὺς παρωσάμενος εἰσήρρησε,
*the dog with-force the many having-pushed-aside rushed-in*
στελέχῳ πρινίνῳ ἐπερειδόμενος· ἦν γὰρ ἀντὶ τοῦ
*on-a-trunk of-holm-oak leaning was for instead-of the*
πυκνώματος τῶν ὄζων χαλκοῖς τισιν ἥλοις ἐμπεπαρμένην
*thickness of-the knots with-bronze some nails pierced*
φέρων βακτηρίαν, καὶ τὴν πήραν δὲ διάκενον καὶ πρὸς
*carrying a-staff and the wallet too empty and for*
τὰ λείψανα εὐζώνως ἠρτημένην. οἱ μὲν οὖν ἄλλοι ἀπ'
*the leftovers nimbly hung the indeed then others from*
ἀρχῆς εἰς τέλος παραπλησίαν τινὰ καὶ τὴν αὐτὴν εἶχον
*beginning to end similar some and the same had*
τῆς ἑστιάσεως ἀκολουθίαν, οἱ φιλόσοφοι δέ, προϊόντος τοῦ
*of-the feasting order the philosophers and advancing the*
συμποσίου καὶ τῆς φιλοτησίας συνεχῶς περισοβουμένης,
*drinking-party and the loving-cup continually being-carried-round*
ἄλλος ἄλλην τερατείαν ἐπεδείξαντο. Ἐτεοκλῆς μὲν γὰρ
*one another wonder showed Eteocles indeed for*

ὁ στωϊκὸς ὑπὸ γήρως καὶ πλησμονῆς ἐκτάδην κείμενος
*the stoic from old-age and surfeit stretched-out lying*
ἔρρεγχεν· ὁ Πυθαγόρειος δὲ τὴν σιωπὴν λύσας τῶν
*snored the Pythagorean and the silence having-broken of-the*
χρυσῶν ἐπῶν τινα μουσικὴν ἁρμονίαν ἐτερέτιζεν. ὁ
*golden verses some musical harmony hummed the*
βέλτιστος δὲ Θεμισταγόρας, ἅτε τὴν εὐδαιμονίαν
*best and Themistagoras inasmuch-as the happiness*
κατὰ τὸν τοῦ περιπάτου λόγον οὐ ψυχῇ καὶ σώματι
*according-to the of-the peripatos doctrine not by-soul and by-body*
μόνον ἀλλὰ καὶ τοῖς ἐκτὸς ὁριζόμενος, ἀπήτει πλείονα
*only but also by-the external-goods defining demanded more*
πέμματα καὶ ποικιλίαν τῶν ὄψων δαψιλῆ. Ζηνοκράτης δὲ ὁ
*cakes and variety of-the dishes abundant Zenocrates and the*
Ἐπικούρειος τὴν ψάλτριαν ὡς αὐτὸν ἐνηγκαλίζετο τακερὸν
*Epicurean the harp-girl to himself embraced melting*
καὶ ὑγρὸν προσβλέπων ὑπομεμυκόσι τοῖς ὄμμασι, λέγων
*and moist looking-at with-half-closed the eyes saying*
τουτὶ εἶναι τὸ τῆς σαρκὸς ἀόχλητον καὶ τὴν καταπύκνωσιν
*this-here to-be the of-the flesh untroubled and the consolidation*
τοῦ ἡδομένου. ὁ κύων δὲ πρῶτα μὲν οὐρεῖ κατὰ τὴν
*of-the feeling-pleasure the dog and first indeed urinates according-to the*
κυνικὴν ἀδιαφορίαν εἰς σύρμα χαλάσας καὶ καθεὶς τὸ
*cynic indifference into a-trail having-loosened and having-let-down the*
τριβώνιον, ἔπειτα καὶ Δωρίδα τὴν μουσουργὸν οἷος ἦν
*cloak then and Doris the music-girl as he-was*
ἐν ὀφθαλμοῖς ἁπάντων ὁρώντων ἐνεργεῖν, φάσκων ἀρχὴν
*in eyes of-all looking-on to-have claiming beginning*
γενέσεως εἶναι τὴν φύσιν· ὥστε ἡμῶν τῶν παρασίτων οὐδείς
*of-birth to-be the nature so-that of-us the parasites no*
ἐστι λόγος· τὸ γὰρ θέαμα καὶ τὴν θυμηδίαν παρεῖχεν οὐδεὶς
*is account the for spectacle and the delight provided none*

τῶν εἰς τοῦτο κεκληρωμένων, καίτοι γε καὶ Φοιβιάδης
*of-those for this allotted and-yet at-least both Phoebiades*
ὁ κιθαρῳδὸς καὶ μῖμοι γελοίων οἱ περὶ Σαννυρίωνα καὶ
*the lyre-singer and mimes of-jests those around Sannyrion and*
Φιλιστιάδην οὐκ ἀπελείποντο. ἀλλὰ πάντα φροῦδα καὶ
*Philistiades not were-wanting but all gone and*
οὐκ ἀξιόθεα, εὐδοκίμει δὲ μόνος ὁ τῶν σοφῶν λῆρος.
*not worth-seeing was-in-favor and alone the of-the wise nonsense*

56

## Θαμβοφάγος Κυπελλιστῇ

*Thambophagus to-Cypellistes*

Ἐπαίρεις σαυτὸν οὐδὲν δέον καὶ τύφου πλήρης εἶ
*you-exalt yourself nothing being-needful and of-conceit full you-are*
καὶ βαδίζεις ἴσα τοῦτο δὴ τὸ τοῦ λόγου Πυθοκλεῖ, καὶ
*and you-walk equally this indeed the of-the saying with-Pythocles and*
τῶν ἀρίστων ἀποφέρῃ μερίδας. οὐκοῦν τὰς σπυρίδας καθ'
*of-the best-(dishes) you-carry-off portions therefore the baskets by*
ἡμέραν ἐξογκῶν σὺ μεγέθει λειψάνων; καθάπερ πρώην
*day swelling you with-bulk of-leftovers as lately*
Ἀρητάδης ὁ γραμματικὸς ἐποίει, Ὁμήρου ὡς ἔφασκεν
*Aretades the grammarian did of-Homer as he-claimed*
ἐπιλέγων στιχίδιον εὐμηχάνως αὐτῷ πρὸς τὰς ἁρπαγὰς
*reciting a-little-verse ingeniously by-him for the snatchings*
τῶν βρωμάτων ἡρμοσμένον "καὶ φαγέμεν πιέμεν τε,
*of-the foods fitted both to-eat to-drink and*
ἔπειτα δὲ καί τι φέρεσθαι". πέπαυσο, κατάβαλε τὴν
*then and also something to-carry-off stop throw-down the*

ἀλαζονείαν, τρισάθλιε, ἢ ἀνάγκη σὲ τῆς οἰκίας γυμνὸν
*boasting thrice-wretched or there-is-necessity you from-the house naked*
θύραζε ἐν ἀκαρεῖ χρόνῳ ἐκβληθέντα ἐμπεσεῖν ***
*out-of-doors in a-tiny time thrown-out to-fall (lacuna)*

57

## Οἰνόλαλος Ποτηριοφλυάρῳ

*Oenolalus to-Poteriophlyarus*

Οὐκ εἰς δέον οἰνωμένος ἐσκωψάμην τὸν τροφέα τοῦ
*not for (the)-needful having-been-drunk I-mocked the tutor of-the*
νεανίσκου Ζώπυρον. ἐξ ἐκείνου γὰρ ἴσως διαβολῇ τυπεὶς
*young-man Zopyrus from that for perhaps by-slander struck-in*
τὰ ὦτα περὶ τὰς δόσεις κατέστη μικροπρεπέστερος καὶ
*the ears about the gifts he-became meaner and*
φειδωλῷ τῷ μέτρῳ κέχρηται περὶ τὰς δαπάνας. εἰωθὼς
*sparing the measure he-uses about the expenses being-accustomed*
γὰρ ἐν ταῖς ἑορταστικαῖς τῶν ἡμερῶν ἢ χιτώνιον
*for on the festive of-the days either a-tunic*
ἢ τριβώνιον ἢ ἐφεστρίδα πέμπειν, ἔναγχος Κρονίων
*or a-cloak or an-overcoat to-send lately the-Cronia*
ἐνστάντων Ἰφικρατίδας μοι νεουργεῖς ἔπεμψε τῷ Δρόμωνι
*being-at-hand Iphicratid-(shoes) to-me new-made he-sent — to-Dromon*
δοὺς κομίζειν. ὁ δὲ ἐπὶ ταύταις ἐβρενθύετο καὶ μισθοὺς
*having-given to-bring he and on these swaggered and wages*
τῆς διακονίας ἀπῄτει. ἐγὼ δὲ δάκνομαι καὶ τὴν προπετῆ
*for-the service demanded I and am-stung and the rash*
γλῶτταν διαμασῶμαι καὶ ὀψὲ τῆς ἁμαρτίας αἰσθάνομαι.
*tongue chew-to-pieces and late of-the error perceive*

ὅταν γὰρ τὸ ῥεῦμα τῶν λόγων μὴ καθηγουμένης διανοίας
*when for the stream of-the words not leading mind*
φέρηται, τότε σφάλλεσθαι τὴν γλῶτταν ἀνάγκη. ἔρρωσο.
*is-borne then to-trip the tongue it-is-necessary farewell*

## BOOK III.58–66 · PARASITES

*Parasites write of a soldier patron too free of jealousy over his courtesans for a colleague's threatened slander to touch the writer, of a dream of being Ganymede carried off by Zeus' eagle that ends with a vulture and a fall, and of hungry Corinth, where young men pick food from the dust. Scordosphrantes, a rich man's son, is drenched in broth by a low-born demagogue and mourns his lost name; Scordolepisus will betray a patron's adulterous wife; Philomagirus will reveal a child born five months after a wedding and exposed, once the maids insult him. A Stoic's pupil learns his teacher's nights, not his doctrine, and his courtesan favors the writer; a merchant feasts the town's parasites, courtesans, and players; a barber shaves a parasite's jaw in patches.*

58

### Ἁλοκύμινος Φιλογαρελαδίῳ

*Halocyminus to-Philogarelaedius*

Οὐδὲν προτιμῶ σου, κἂν ἀπειλῇς ψιθυριεῖν κατ' ἐμοῦ καὶ
*nothing I-care-for you even-if you-threaten to-whisper against me and*
καττύσειν διαβολὰς ἀγενήτους. ἁπλοϊκὸς γὰρ καὶ γενναῖος
*to-stitch-up slanders baseless simple for and noble*
ὁ Μαλιεὺς οὗτος στρατιώτης ὁ βόσκων ἡμᾶς. τὰ
*the Malian this soldier the-one feeding us the*
νῦν δὴ ταῦτα καὶ τοσοῦτον ἀπέχει τοῦ ζηλοτυπεῖν
*now indeed these-things and so-far he-is-from the to-be-jealous-over*
τὰς ἑταίρας, ὡς πρώην λόγου ῥυέντος αὐτῷ ἐπὶ τοῦ
*the courtesans that lately talk having-flowed for-him at the*

συμποσίου, πολλὴν κατέχεε βλασφημίαν τῶν τὰ τοιαῦτα
*drinking-party much he-poured-out abuse of-those the such-things*
ὑπομενόντων. ἔλεγε γὰρ γαμεταῖς ἐπικλήροις οἰκουρίαν
*enduring he-said for for-wedded heiresses housekeeping*
πρέπειν καὶ τὸν σεμνὸν βίον, τὰς ἑταίρας δὲ δεῖν εἶναι
*to-befit and the august life the courtesans but to-have-to to-be*
πάντων ἀναφανδὸν καὶ πᾶσιν ἐκκεῖσθαι τοῖς βουλομένοις·
*of-all openly and to-all to-be-exposed those wishing*
ὅνπερ οὖν τρόπον τοῖς λουτροῖς καὶ τοῖς σκεύεσι κοινοῖς
*in-the-very then way the baths and the vessels common*
κεχρήμεθα, κἂν ἑνὸς εἶναι δοκῇ, οὕτως καὶ ταῖς εἰς
*we-use even-if of-one to-be it-seem so also the to*
τοῦτον ἀπογραψαμέναις τὸν βίον. εἰδὼς οὖν τηνάλλως
*this having-enrolled-themselves the life knowing then in-vain*
τὴν διαβολήν σου χωρήσουσαν, τρέμε δακὼν τὸ χεῖλος,
*the slander your to-be-going-to-proceed tremble having-bitten the lip*
ὡς οἱ τὸν Σίγηλον ἥρω παριόντες, μὴ κακόν τι
*as those the Sigelus hero passing-by lest evil something*
προσλάβῃς· οὐ γὰρ ἔστι τῶν Ἀττικῶν τούτων εἷς τῶν
*you-get not for he-is of-the Attic these one of-the*
χαύνων μειρακίων, ἀλλ᾽ ἀνὴρ ὁπλομάχος καὶ ἀρήιος, παρ᾽
*soft youths but a-man armed-fighter and warlike with*
ᾧ κολακείας καὶ διαβολῆς τρόπος ἔρρει. ἀνάγκη δὲ τὸν
*whom of-flattery and of-slander way is-gone it-is-necessary and the-one*
διαβολὰς μὴ προσιέμενον τοῖς διαβάλλουσιν ἀπεχθάνεσθαι.
*slanders not admitting with-the slanderers to-be-at-odds*

59

## Λιμένтερος Ἀμάστῳ

*Limenterus to-Amastus*

Παρ᾽ ἕνα τινὰ τῶν τὰ πινάκια παρὰ τὸ Ἰακχεῖον
*to one certain of-those the tablets beside the Iaccheum*
προτιθέντων καὶ τοὺς ὀνείρους ὑποκρίνεσθαι ὑπισχνουμένων
*setting-out and the dreams to-interpret promising*
βούλομαι ἐλθὼν τὰς δύο ταύτας δραχμάς, ἃς οἶσθα
*I-wish having-gone the two these drachmas which you-know*
ἐνέχυρόν με ἔχοντα, καταβαλὼν τὴν φανεῖσαν ὄψιν μοι
*as-a-pledge me having having-paid-down the having-appeared vision to-me*
κατὰ τοὺς ὕπνους διηγήσασθαι. οὐ χεῖρον δὲ καὶ πρὸς σὲ ὡς
*in the sleep to-relate not worse and also to you as*
φίλον ἀναθέσθαι τὸ καινὸν τοῦτο καὶ πέρα πάσης πίστεως
*a-friend to-communicate the new this and beyond all belief*
φάσμα. ἐδόκουν γὰρ κατ᾽ ὄναρ εὐπρεπὴς εἶναι νεανίσκος
*vision I-seemed for in a-dream handsome to-be a-young-man*
καὶ οὐχ ὁ τυχών, ἀλλ᾽ ἐκεῖνος ὁ Ἰλιεὺς ὁ περίψυκτος καὶ
*and not the chance-one but that the Ilian the dearly-loved and*
περικαλλής, ὁ τοῦ Τρωὸς παῖς Γανυμήδης, καὶ καλαύροπα
*very-beautiful the — of-Tros son Ganymede and a-crook*
ἔχειν καὶ σύριγγα καὶ τιάρᾳ Φρυγίῳ στέφειν τὴν κεφαλὴν
*to-have and a-pipe and with-a-tiara Phrygian to-crown the head*
ποιμαίνειν τε καὶ εἶναι κατὰ τὴν Ἴδην. ἐξαίφνης δὲ
*to-tend-flocks both and to-be on — Ida suddenly and*
ἐπιστάντα μοι γαμψώνυχα καὶ μέγαν ἀετόν, γοργὸν τὸ
*having-stood-over me crook-taloned and huge eagle fierce in-the*
βλέμμα καὶ ἀγκυλοχείλην τὸ στόμα, κουφίσαντά με τοῖς
*look and hooked-beaked in-the mouth having-lifted me with-the*
ὄνυξιν ἀφ᾽ οὗπερ ἐκαθήμην πέτρου μετεωρίζειν εἰς τὸν
*talons from the-very-which I-was-sitting rock to-raise into the*

ἀέρα καὶ πελάζειν τοῖς οὐρανίοις τόποις ἐπειγόμενον· εἶτα
*air and to-approach the heavenly places hastening then*
μέλλοντα λαβεῖν τῶν πυλῶν αἷς αἱ Ὧραι ἐφεστᾶσι,
*being-about to-reach the gates over-which the Hours stand*
κεραυνῷ βληθέντα πεσεῖν, καὶ τὸν ὄρνιν οὐκέτι τὸν
*by-a-thunderbolt struck to-fall and the bird no-longer the*
διιπετῆ καὶ μέγαν εἶναι ἀετόν, γῦπα δὲ πικρὸν ὀδωδότα,
*Zeus-sent and great to-be eagle a-vulture but bitter smelling*
ἐμὲ δὲ τοῦτον ὃς εἰμὶ Λιμέντερον, γυμνὸν πάσης ἐσθῆτος,
*me and this-one who I-am Limenterus naked of-all clothing*
οἷα πρὸς λουτρὸν ἢ παλαίστραν ηὐτρεπισμένον. ἐκταραχθεὶς
*as for bath or wrestling-ground prepared greatly-disturbed*
οὖν ὡς εἰκὸς ἐπὶ τοσούτῳ πτώματι διηγειρόμην, καὶ πρὸς
*then as is-likely at so-great a-fall I-woke-up and at*
τὸ παράδοξον τῆς ὄψεως ἀγωνιῶ καὶ δέομαι οἳ φέρει
*the strangeness of-the vision I-am-anxious and I-need to-what tends*
τὸ ὄναρ μαθεῖν παρὰ τῶν τὰ τοιαῦτα ἀκριβούντων, εἰ
*the dream to-learn from those the such-things knowing-exactly if*
μέλλει τις ἀπλανῶς εἰδέναι καὶ εἰδὼς ἀληθίσασθαι.
*is-going anyone unerringly to-know and knowing to-speak-the-truth*

60

## Χασκοβούκης Ὑπνοτραπέζῳ

*Chascobuces to-Hypnotrapezus*

Οὐκέτι εἰσῆλθον εἰς τὴν Κόρινθον· ἔγνων γὰρ ἐν βραχεῖ
*no-longer I-went into — Corinth I-recognized for in short-(time)*
τὴν βδελυρίαν τῶν ἐκεῖσε πλουσίων καὶ τὴν τῶν πενήτων
*the loathsomeness of-the there rich and the of-the poor*
ἀθλιότητα. ὡς γὰρ ἐλούσαντο οἱ πολλοὶ καὶ μεσοῦσα
*wretchedness when for had-bathed the many and in-the-middle*

ἦν ἡμέρα, στωμύλους ἐθεασάμην καὶ εὐφυεῖς νεανίσκους,
*was day chattering I-beheld and clever young-men*
οὐ περὶ τὰς οἰκίας ἀλλὰ περὶ τὸ Κράνειον εἱλουμένους
*not about the houses but about the Craneum crowding*
καὶ οὗ μάλιστα ταῖς ἀρτοπώλισι καὶ ὀπωροκαπήλοις
*and where most for-the bread-sellers and fruit-dealers*
ἔθος ἀναστρέφειν. ἐνταυθὶ γὰρ εἰς τοὔδαφος ἐπικύπτοντες
*custom to-ply here for to the-ground stooping*
ὁ μὲν φλοιοὺς θέρμων ἀνῃρεῖτο, ὁ δὲ τὰ ἔλυτρα
*the-one indeed husks of-lupines picked-up the-other and the shells*
τῶν καρύων ἐπολυπραγμόνει μή πού τι τῶν ἐδωδίμων
*of-the nuts searched lest perhaps any of-the edible-things*
ἀπομεῖναν διέλαθεν, ὁ δὲ τῶν ῥοιῶν τὰ περικάρπια,
*left-over had-escaped-notice the-other and of-the pomegranates the rinds*
ἃ σίδια ἡμῖν τοῖς Ἀττικοῖς προσαγορεύειν ἔθος,
*which pomegranate-peels to-us the Attic to-call custom*
ἀπέγλυφε τοῖς ὄνυξιν εἴ πού τι τῶν κόκκων ἐπιδράξασθαι
*scraped with-the nails if perhaps any of-the seeds to-grasp*
δυνηθείη, οἱ δὲ καὶ τὰ ἐκ τῶν ἄρτων ἀποπίπτοντα
*he-might-be-able the-others and also the-things from the loaves falling-off*
πρὸς πολλῶν ἤδη πεπατημένα ἀναλέγοντες ἔκαπτον.
*by many already trodden picking-up gobbled*
τοιαῦτα τὰ τῆς Πελοποννήσου προπύλαια καὶ ἡ δυοῖν
*such the of-the Peloponnese gateway and the of-two*
θαλάσσαιν ἐν μέσῳ κειμένη πόλις, χαρίεσσα μὲν ἰδεῖν
*seas in the-middle lying city charming indeed to-see*
καὶ ἀμφιλαφῶς ἔχουσα τρυφημάτων, τοὺς οἰκήτορας δὲ
*and abundantly having of-luxuries the inhabitants but*
ἀχαρίστους καὶ ἀνεπαφροδίτους κεκτημένη· καίτοι γέ
*graceless and charmless possessing and-yet at-least*
φασι τὴν Ἀφροδίτην ἐκ Κυθήρων ἀνασχοῦσαν τὴν
*they-say — Aphrodite from Cythera having-risen the*

Ἀκροκόρινθον ἀσπάσασθαι· εἰ μὴ ἄρα τοῖς μὲν γυναίοις
*Acrocorinth to-have-greeted if not then to-the indeed women*
Ἀφροδίτη πολιοῦχος τοῖς δὲ ἀνδράσιν ὁ Λιμὸς καθίδρυται.
*Aphrodite city-guardian to-the and men — Famine is-enthroned*

61

## Σκορδοσφράντης Μεριδᾷ

*Scordosphrantes to-Meridas*

Ἡράκλεις, ὅσα ὑπέστην πράγματα ῥύμματι καὶ νίτρῳ
*Heracles how-many I-underwent troubles with-soap and with-soda*
Χαλαστραίῳ χθιζινοῦ ζωμοῦ τοὐμοὶ περιχυθέντος τὴν
*Chalastraean of-yesterday's broth on-me having-been-poured-over the*
γλισχρότητα ἀποκαθαίρων. καὶ οὐχ οὕτω με ἔδακνεν ἡ
*stickiness cleaning-off and not so me bit the*
ὕβρις ὅσον τὸ παρ᾽ ἀναξίου ὑπομένειν. ἐγὼ μὲν
*insult as-much-as the from an-unworthy-one to-endure I indeed*
γὰρ Ἀνθεμίωνος υἱὸς τοῦ πλουσιωτάτου τῶν Ἀθήνησι
*for of-Anthemion son the richest of-those at-Athens*
καὶ Ἀξιοθέας τῆς κατὰ γένος ἐκ Μεγακλέους ὁρμωμένης,
*and of-Axiothea the by birth from Megacles descending*
ὁ δὲ ταῦθ᾽ ἡμῖν ἐργαζόμενος πατρὸς μὲν ἀσήμου
*he and these-things to-us doing of-father indeed obscure*
μητρὸς δὲ βαρβάρου, Σκυθίδος οἶμαι ἢ Κολχίδος ἐν
*of-mother and barbarian Scythian I-think or Colchian at*
νεομηνίᾳ ἐωνημένης· οὕτω γάρ μοι τῶν γνωρίμων τινὲς
*the-new-moon bought so for to-me of-the acquaintances some*
διηγήσαντο. ἀλλ᾽ ἐγὼ μὲν ἐν ταπεινῷ τῷ σχήματι,
*told but I indeed in lowly the condition*
τὴν πατρῴαν ἀποβαλὼν οὐσίαν, ἀγαπῶ τὴν ἀναγκαίαν
*the paternal having-lost property am-content the necessary*

ἐκπορίζειν τῇ γαστρὶ τροφήν. Δωσιάδης δ', ὦ θεοί,
*to-provide for-the belly food Dosiades but O gods*
τὴν πνύκα καταλαμβάνει δημηγορῶν κἀν τοῖς ἐν Ἡλιαίᾳ
*the pnyx occupies haranguing and-in those in Heliaea*
καταριθμεῖται δικάζουσι καὶ τὰς ἡνίας ἔχει τοῦ δήμου, παρ'
*is-counted judging and the reins holds of-the people with*
ᾧ Μιλτιάδης ἐδέδετο ὁ τὸ ἐν Μαραθῶνι τρόπαιον
*whom Miltiades was-bound the-one the at Marathon trophy*
ἐγείρας, καὶ Ἀριστείδης ὁ δίκαιος ἐξωστρακίζετο. λυπεῖ δέ
*having-raised and Aristides the just was-ostracized grieves and*
με οὐχ ἥκιστα πρὸς τοῖς ἄλλοις καὶ ἡ τῆς προσηγορίας
*me not least besides the other-things also the of-the name*
ἀποβολή. οἱ μὲν γὰρ πατέρες Πολύβιόν με ἔθεντο
*loss the indeed for parents Polybius me had*
καλεῖσθαι, ἡ τύχη δὲ ἀμείψασα τοὔνομα Σκορδοσφράντην
*to-be-called the fortune but having-changed the-name Scordosphrantes*
πρὸς τῶν ὁμοτέχνων ἠνάγκασε προσαγορεύεσθαι.
*by the fellow-craftsmen compelled to-be-called*

62

## Σκορδολέπισος Καπυροσφράντῃ

*Scordolepisus to-Capyrosphrantes*

Ἐπίστασο τὴν αἰτίαν, ἐφ' ᾗ με διεσίλλαινον αἱ γυναῖκες,
*know the cause for which me mocked the women*
τελευταῖον δὲ ἡ γραῦς ἡ δούλη ἐλοιδορήσατό μοι εἰποῦσα
*at-last and the old-woman the slave reviled me having-said*
"ἀλλ' ἐκκορηθείης ὅτι ἄκαιρος εἶ καὶ λάλος."
*but may-you-be-swept-out because ill-timed you-are and chatterer*
μυστήριον ἐν αὐταῖς στρέφεται ταῖν θεαῖν ταῖν
*a-mystery among them is-turned than-that-of-the two-goddesses the*

Ἐλευσινίαιν ἀσφαλέστερον, καὶ βούλονται ἡμᾶς ἀγνοεῖν
*Eleusinian more-safely and they-wish us to-be-ignorant*
τοὺς εἰδότας· ἢ καὶ οἴονται ἀκηκοότας οὔπω πεπεῖσθαι.
*the knowing or even they-think having-heard not-yet to-be-convinced*
ἐγὼ δὲ οἶδα τὸ δρᾶμα καὶ ὅσον οὐκ εἰς μακρὰν κατερῶ
*I but know the drama and all but after long I-will-denounce*
τῷ δεσπότῃ· οὐ γὰρ βούλομαι χείρων φανῆναι τῶν
*to-the master not for I-wish worse to-appear than-the*
κυνῶν, αἳ τῶν τρεφόντων προφυλακτοῦσι καὶ κήδονται·
*dogs which for-those feeding-(them) keep-watch and care*
μοιχὸς πολιορκεῖ τὴν οἰκίαν, ὁ Ἠλεῖος νεανίσκος, ὁ εἷς
*an-adulterer besieges the house the Elean young-man the one*
τῶν Ὀλυμπίασι βασκάνων. καὶ πρὸς τοῦτον γραμματίδια
*of-the at-Olympia slanderers and to this-one little-letters*
ὁσημέραι φοιτᾷ δίθυρα παρὰ τῆς γαμετῆς τοῦ τρέφοντος
*daily go two-leaved from the wife of-the-one feeding*
ἡμᾶς καὶ στέφανοι ἡμιμάραντοι καὶ μῆλα ἀποδεδηγμένα·
*us and garlands half-withered and apples bitten*
αἱ δὲ ἀλάστορες αὗται θεραπαινίδες συνίσασι καὶ ἡ
*the and avenging-demons these maidservants know and the*
ἐπιτύμβιος γραῦς, ἣν Ἔμπουσαν ἅπαντες οἱ κατὰ
*at-the-grave old-woman whom Empusa all those in*
τὴν οἰκίαν καλεῖν εἰώθασιν ἐκ τοῦ πάντα ποιεῖν καὶ
*the house to-call are-wont from the everything to-do and*
βιάζεσθαι. ἐγὼ δὲ οὐκ ἔσθ' ὅπως σιγήσομαι· βούλομαι γὰρ
*to-force I and not it-is how I-will-keep-silent I-wish for*
ἐμαυτὸν οὐ παράσιτον ἀλλὰ φίλον ἐπιδεῖξαι, καὶ ἄλλως
*myself not parasite but friend to-show and otherwise*
διψῶ τῆς κατ' αὐτῶν τιμωρίας. οἶδα γὰρ οἶδ', εἰ ταῦτα
*I-thirst of-the against them vengeance I-know for I-know if these-things*
εἰς φανερὸν ἀχθείη, αἱ μὲν θεραπαινίδες δεδήσονται,
*into the-open should-be-brought the indeed maidservants will-be-bound*

ὁ μοιχὸς δὲ ἀπολεῖται ῥαφάνοις τὴν ἕδραν βεβυσμένος,
*the adulterer and will-perish with-radishes the seat stuffed*
ἡ μιαρὰ δὲ γυνὴ τίσει τὴν ἀξίαν τῆς ἀκολασίας δίκην,
*the foul and woman will-pay the deserved of-the licentiousness penalty*
εἰ μὴ Πολιάγρου τοῦ κυρτοῦ μαλακώτερός ἐστι τὰ
*if not than-Poliagrus the humpbacked softer is in-the*
τοιαῦτα Λυσικλῆς. ἐκεῖνος γὰρ λύτρα παρὰ τῶν μοιχῶν
*such-things Lysicles that-one for ransoms from the adulterers*
ἐπὶ τῇ γαμετῇ πραττόμενος ἀθῴους τῆς τιμωρίας ἠφίει.
*for the wife exacting guiltless of-the punishment let-off*

63

## Φιλομάγειρος Πινακοσπογγίῳ

*Philomagirus to-Pinacospongius*

Οἷα βουλεύονται καὶ διανοοῦνται αἱ θεοῖς ἐχθραὶ
*what-things plan and intend the to-gods hateful*
λαιστρυγόνες αὗται τῇ κεκτημένῃ συμπράττουσαι· καὶ
*Laestrygonians these with-the mistress conspiring and*
οἶδε τούτων οὐδὲν ὁ Φαιδρίας. μηνὶ πέμπτῳ μετὰ
*knows of-these nothing — Phaedrias in-month fifth after*
τοὺς γάμους τέτοκεν αὐτῷ τὸ γύναιον παιδίον ἄρρεν·
*the wedding has-borne to-him the little-wife a-child male*
τοῦτο μετὰ τῶν σπαργάνων δέραιά τινα καὶ γνωρίσματα
*this with the swaddling-clothes necklaces some and tokens*
περιθεῖσαι ἔδωκαν Ἀσφαλίωνι τῷ συργάστρῳ κομίζειν
*having-put-around they-gave to-Asphalion the farmband to-carry*
ἐπὶ τὰς ἀκρωρείας τῆς Πάρνηθος. ἡμᾶς δὲ τέως
*to the ridges — of-Parnes us and for-the-time*
μὲν ἀνάγκη κρύπτειν τὸ κακόν, καὶ πρὸς τὸ παρὸν

σιγῶ. ἐπειδὰν δέ τι κἂν βραχὺ λυπήσωσι, κόλακα
*I-am-silent when and at-all even a-little they-annoy flatterer*
καὶ παράσιτον ἐξονειδίζουσαι καὶ τὰς ἄλλας ἃς εἰώθασιν
*and parasite reproaching and the other which they-are-wont*
ὕβρεις ἐπιφέρουσαι, εἴσεται τὸ γεγονὸς ὁ Φαιδρίας.
*insults bringing will-know the having-happened — Phaedrias*

64

## Τουρδοσύναγος Ἐφαλλοκύθρῃ

*Turdosynagus to-Ephallocythres*

Ὁ μὲν Κρίτων ὑπ᾽ ἀνοίας καὶ ἀρχαιότητος τρόπου τὸν υἱὸν
*— indeed Crito from folly and old-fashionedness of-manner the son*
εἰς φιλοσόφου φοιτᾶν ἐπέτρεψε, τὸν αὐστηρὸν πρεσβύτην
*to of-a-philosopher to-go allowed the austere old-man*
καὶ ἀμειδῆ, τὸν ἐκ τῆς ποικίλης, ἐξ ἁπάντων τῶν
*and unsmiling the from the painted-(stoa) out-of all the*
φιλοσόφων καθηγεῖσθαι τοῦ παιδὸς ἀξιώτατον ἡγησάμενος,
*philosophers to-guide the boy most-worthy having-thought*
ὡς ἂν παρ᾽ αὐτῷ λόγων τινὰς σχινδαλαμοὺς ἐκμαθὼν
*so-that — with him of-arguments some splinters having-learned*
ἐριστικὸς καὶ ἀγκύλος τὴν γλῶσσαν γένηται. ὁ δὲ παῖς
*contentious and crooked in-the tongue he-might-become the and boy*
ἐς τὸ ἀκριβέστατον ἐξεμάξατο τὸν διδάσκαλον· οὐ πρότερον
*to the most-exact copied the teacher not first*
γὰρ λόγων γενέσθαι μαθητὴς ἀλλὰ τοῦ βίου καὶ τῆς
*for of-arguments to-become a-pupil but of-the life and of-the*
ἀγωγῆς ἐσπούδασε. θεασάμενος γὰρ τὸν διδάσκαλον τῇ
*conduct he-was-eager having-beheld for the teacher by-the*
ἡμέρᾳ σεμνὸν καὶ σκυθρωπὸν καὶ τοῖς νέοις ἐπιτιμῶντα,
*day august and sullen and the young rebuking*

νύκτωρ δὲ περικαλύπτοντα τὴν κεφαλὴν τριβωνίῳ καὶ περὶ
*by-night but covering the head with-a-cloak and around*
χαμαιτυπεῖα εἰλούμενον, ἐζήλωσεν ἐν καλῷ. καὶ πέμπτην
*brothels prowling he-emulated-(him) in good-time and fifth*
ταύτην ἡμέραν εἰς ἔρωτα Ἀκαλανθίδος τῆς ἐκ Κεραμεικοῦ
*this day into love of-Acalanthis the from Ceramicus*
κατολισθήσας φλέγεται· αὐτὴ δὲ ἐπιεικῶς ἔχει πρὸς
*having-slipped he-is-ablaze she but kindly is-disposed toward*
ἐμὲ καὶ ἐρᾶν ὁμολογεῖ, τῷ μειρακίῳ δὲ ἔτι ἀντιτείνεται
*me and to-love admits the youth but still resists*
ᾐσθημένῃ τῷ πόθῳ τυφόμενον, καὶ οὐ πρότερόν
*having-perceived-(him) with-the longing smoldering and not before*
φησιν ἐπιδώσειν ἑαυτὴν πρὶν ἂν ἐγὼ τοῦτο ἐπιτρέψω· ἐμὲ
*she-says to-be-going-to-give herself before — I this permit me*
γὰρ κύριον τοῦ ταῦτα προστάττειν ἐποιήσατο. πολλὰ καὶ
*for master of-the these-things to-order she-made many and*
ἀγαθὰ δοίης, Ἀφροδίτη πάνδημε, τῇ φιλτάτῃ γυναικί·
*good-things may-you-give Aphrodite Pandemos to-the dearest woman*
ἑταίρου γάρ, οὐχ ἑταίρας ἔργον διεπράξατο. ἐξ ἐκείνου
*of-a-companion for not of-a-courtesan deed she-accomplished from that-time*
γὰρ θεραπεύομαι λιπαρῶς ἄλλοτε ἄλλαις δωροφορίαις.
*for I-am-courted richly at-one-time with-one-sort gifts*
καὶ εἴ μοι ῥεύσειε τοῦ χρόνου προϊόντος δαψιλέστερος,
*and if to-me should-flow the time advancing more-abundant*
οὐδὲν κωλύσει με τούτου γαμοῦντος ἐπίκληρον γυναῖκα ἐν
*nothing will-prevent me this-one marrying an-heiress wife in*
γαμετῆς σχήματι τὴν Ἀκαλανθίδα λυσάμενον ἀναλαβεῖν. ἡ
*of-wife guise — Acalanthis having-ransomed to-take-up the*
γὰρ τοῦ ζῆν αἰτία κοινωνὸς τοῦ ζῆν δικαίως ἂν κατασταίη.
*for of-the to-live cause partner of-the to-live justly — would-become*

65

## Πηξάγωνος Ῥιγομάχῳ

*Pexagonus to-Rhigomachus*

Μέγα τοῦτο ἀγαθὸν ἡ ἐξ Ἰστρίας ναῦς, ἡ ἐπὶ
*great this good the from Istria ship the at*
τοῦ χώματος ὁρμοῦσα, ταῖς Ἀθήναις ἧκε φέρουσα τὸν
*the mole anchoring — to-Athens came bringing the*
θαυμαστὸν τοῦτον ἔμπορον, ὃς τοὺς πλουσίους τῶν Ἀθήνησι
*wonderful this merchant who the rich of-the at-Athens*
καὶ μεγαλοδώρους κίμβικας καὶ μικροπρεπεῖς ἀπέφηνεν·
*and lavish misers and mean showed*
οὕτω κεχυμένως πρὸς τὰς δόσεις κέχρηται τῷ βαλαντίῳ.
*so profusely for the gifts he-uses the purse*
οὐ γὰρ ἕνα παράσιτον ἐξ ἄστεος ἀλλὰ πάντας ἡμᾶς
*not for one parasite from town but all us*
μεταπέμψας, καὶ οὐχ ἡμᾶς μόνον ἀλλὰ καὶ τῶν ἑταιρῶν
*having-sent-for and not us only but also of-the courtesans*
τὰς πολυτελεστέρας καὶ μουσουργῶν τὰς καλλιστευούσας
*the more-expensive and of-music-girls the most-beautiful*
καὶ τοὺς ἀπὸ σκηνῆς ἁπαξαπλῶς εἰπεῖν ἅπαντας, οὐ τὴν
*and those from the-stage simply to-say all not the*
πατρῴαν οὐσίαν τὰ δὲ ἐκ δικαίων αὐτῷ ποριζόμενα
*paternal property the-things but from just-means for-him procured*
σπαθᾷ. καὶ ψαλλόμενος καὶ καταυλούμενος ἥδεται, καὶ
*he-squanders and harped-to and piped-to he-delights and*
τὴν διατριβὴν ποιεῖται χαρίτων καὶ ἀφροδίτης γέμουσαν
*the life makes with-graces and with-love full*
καὶ ὑβρίζει οὐδέν· ἔστι δὲ καὶ ὀφθῆναι κεχαρισμενώτατος
*and outrages nothing he-is and also to-be-seen most-charming*
καὶ πρόσωπον αὐτῷ τὰς Ὥρας αὐτὰς ἐπικαθημένας ἔχει,
*and a-face to-him the Hours themselves sitting-upon has*

καὶ τὴν Πειθὼ τῷ στόματι ἐπικαθῆσθαι εἴποις ἄν·
*and — Persuasion on-the mouth to-sit-upon you-would-say —*
προσπαίζειν τε γλαφυρὸς καὶ λαλῆσαι στωμύλος "οὕνεκά
*to-jest and polished and to-chat glib because*
οἱ γλυκὺ Μοῦσα κατὰ στόματος χέε νέκταρ". εἰπεῖν
*for-him sweet Muse down mouth poured nectar to-say*
γὰρ οὐ χεῖρον κατὰ τοὺς παιδείᾳ σχολάζοντας ἐξ
*for not worse in-the-manner-of those in-education having-leisure from*
Ἀθηνῶν ὁρμώμενον, ἐν αἷς οὐδὲ εἷς τούτων ἄγευστος.
*Athens starting in which not-even one of-these without-a-taste*

66

## Γυμνοχαίρων Φαγοδαρδάπτῳ

*Gymnochaeron to-Phagodardaptes*

Ἐθεάσω οἷά με εἰργάσατο ὁ κατάρατος οὗτος κουρεὺς
*you-saw what-things me did the accursed this barber*
ὁ πρὸς τῇ ὁδῷ; λέγω δὲ τὸν ἀκόρεστον καὶ λάλον, τὸν
*the-one by the road I-mean and the insatiable and chattering the-one*
ἐκ Βρεντησίου προτιθέμενον ἔσοπτρα, τὸν τοὺς χειροήθεις
*from Brundisium setting-out mirrors the-one the tame*
κόρακας τιθασεύοντα, τὸν ταῖς μαχαιρίσι κυμβαλισμὸν
*ravens taming the-one with-the scissors a-clashing*
εὔρυθμον ἀνακρούοντα. ὡς γὰρ ἀφικόμην ξυρεῖσθαι τὴν
*rhythmic striking-up when for I-came to-be-shaved the*
γενειάδα βουλόμενος, ἀσμένως τε ἐδέξατο καὶ ἐφ' ὑψηλοῦ
*beard wishing gladly both he-received-(me) and on a-high*
θρόνου καθίσας σινδόνα καινὴν περιθεὶς πράως εὖ
*chair having-seated a-linen-cloth new having-put-around gently well*
μάλα κατέφερέ μοι τῶν γνάθων τὸν ξυρὸν ἀποψιλῶν τὸ
*very brought-down on-my the jaws the razor stripping the*

πύκνωμα τῶν τριχῶν. ἀλλ᾽ ἐν αὐτῷ τούτῳ πανοῦργος ἦν
*thickness of-the hairs but in itself this rascally he-was*
καὶ σκαιός· ἔλαθε γὰρ τοῦτο παρὰ μέρος ποιῶν καὶ οὐ
*and clumsy he-escaped-notice for this by turns doing and not*
κατὰ πάσης τῆς γνάθου, ὥστε ὑπολειφθῆναί μοι πολλαχοῦ
*over all the jaw so-that to-be-left for-me in-many-places*
μὲν δασεῖαν πολλαχοῦ δὲ λείαν τὴν σιαγόνα. κἀγὼ μὲν οὐκ
*indeed shaggy in-many-places and smooth the jaw and-I indeed not*
εἰδὼς τὴν πανουργίαν ᾠχόμην κατὰ τὸ εἰωθὸς ἄκλητος
*knowing the knavery went according-to the custom uninvited*
εἰς Πασίωνος. οἱ συμπόται δὲ ὡς εἶδον, ἐξέθανον
*to of-Pasion the drinking-companions and when they-saw died*
τῷ γέλωτι, ἕως ἀγνοοῦντά με ἐφ᾽ ὅτῳ γελῶσιν εἷς
*with-the laughter until not-knowing me at what they-laugh one*
τις εἰς μέσους παρελθὼν τῶν ὑπολειφθεισῶν τριχῶν
*a-certain into the-midst having-come-forward of-the left-behind hairs*
ἐπιλαβόμενος εἵλκυσεν. ἐκείνας μὲν οὖν κακοπαθῶς κοπίδας
*having-grasped pulled those indeed then painfully knives*
λαβὼν ἀπερρίζωσα, ἕτοιμος δέ εἰμι ξύλον εὐμέγεθες
*having-taken I-uprooted ready and I-am a-log huge*
ἀνελόμενος κατὰ τοῦ βρέγματος πατάξαι τὸν ἁλιτήριον· ἃ
*having-taken-up on the crown to-strike the sinner what*
γὰρ οἱ τρέφοντες παίζουσι, ταῦτα μὴ τρέφων ἐτόλμησεν.
*for those feeding play these-things not feeding dared*

*A parasite falls in love with a basket-bearer at a festival and asks to be stoned, the mound of pebbles his tomb. Others escape a cauldron of boiling water, regret exposing a patron's wife who swears herself clear, take to robbery after failing as a farmhand, and learn a slave's part in a comedy, asking friends to clap down the hissing. One, whom a wife suspects of procuring for her husband, is pilloried and taken to her father on the Areopagus, and escapes when the old man dies of a fever. A farmer shares his piglets, and a parasite complains, quoting Homer, that he is laughed at even by the maids.*

67

## Διψαναπαυσίλυπος Πλακουντομύωνι

*Dipsanapausilypus to-Placuntomyon*

Νεβρίδα ἰδὼν κανηφοροῦσαν, παρθένον καλλίπηχυν καὶ
*Nebris having-seen carrying-the-basket a-maiden fair-armed and*
εὐδάκτυλον, ταῖς βολαῖς τῶν ὀφθαλμῶν ἀπαστράπτουσαν,
*fair-fingered with-the glances of-the eyes flashing*
εὐμήκη καὶ εὔχρουν, ἧς αἱ παρειαὶ μαρμαίρουσιν, οὕτως
*tall and fair-skinned whose the cheeks sparkle so*
ἐξεκαύθην εἰς ἔρωτα ὥστε με ἐπιλαθόμενον ὃς εἰμι
*I-was-inflamed into love that me having-forgotten who I-am*
προσδραμόντα ἐθέλειν κύσαι τὸ στόμα, ἔπειτα ἐπὶ συννοίας
*having-run-up to-wish to-kiss the mouth then upon thought*
γενόμενον προσφύντα βούλεσθαι τὰ τοῖν ποδοῖν ἴχνη
*having-come clinging to-wish the of-the two-feet tracks*
καταφιλεῖν. αἰαῖ τῆς ἀγερωχίας, νῦν ἐμὲ μὴ ἐπιθυμεῖν
*to-kiss alas of-the arrogance now me not to-desire*
θέρμων ἢ κυάμων ἢ ἀθάρας, ἀλλ᾽ οὕτως ὑπερμαζᾶν
*lupines or beans or groats but so to-be-overfed-with-barley-cake*
καὶ τῶν ἀνεφίκτων ἐρᾶν. καταλεύσατέ με πάντες εἰς
*and the unattainable to-love stone me all into*

ταὐτὸν συνελθόντες πρὶν ἢ ἐκρινηθῆναι τοῖς πόθοις, καὶ
*the-same having-come-together before than to-be-filed-away by-the longings and*
γενέσθω μοι τύμβος ἐρωτικὸς ὁ τῶν λιθιδίων κολωνός.
*let-become for-me a-tomb of-love the of-the pebbles mound*

68

## Ἡδύδειπνος Ἀριστοκόρακι

*Hedydeipnus to-Aristocorax*

Θεοὶ μάκαρες, ἱλήκοιτε καὶ εὐμενεῖς εἴητε. οἷον
*gods blessed may-you-be-gracious and kindly may-you-be what*
ἀπέφυγον κίνδυνον, τῶν τρισκαταράτων ἐρανιστῶν λέβητά
*I-escaped danger of-the thrice-accursed club-members a-cauldron*
μοι ζέοντος ὕδατος ἐπιχέαι βουληθέντων. ἰδὼν γὰρ
*on-me of-boiling water to-pour having-wished having-seen for*
πόρρωθεν εὐτρεπεῖς ἀπεπήδησα, οἱ δὲ ἀπροβουλεύτως
*from-afar ready I-leapt-away they and unpremeditatedly*
ἐξέχεον, καὶ τὸ θερμὸν ἐπιρρυὲν Βαθύλλῳ τῷ οἰνοχοοῦντι
*poured-out and the hot having-flowed-on Bathyllus the pouring-wine*
παιδὶ ψιλὸν εἰργάσατο. τῆς κεφαλῆς γὰρ ἀπέσυρε τὸ
*boy bare made of-the head for it-stripped-off the*
δέρμα καὶ φλυκταίνας ἐπινωτίους ἐξήνθησεν. τίς ἄρα
*skin and blisters on-the-back made-break-out what then*
μοι δαιμόνων ἐπίκουρος ἐγένετο; μή ποτε οἱ σωτῆρες
*to-me of-spirits helper became can-it-be that the savior*
ἄνακτες, ὡς Σιμωνίδην τὸν Λεωπρεποῦς τοῦ Κρανωνίου
*lords as Simonides the son-of-Leoprepes from-the Cranonian*
συμποσίου, κἀμὲ τῶν τοῦ πυρὸς κρουνῶν ἐξήρπασαν.
*drinking-party me-too from-the of-the fire streams have-snatched*

69

## Τρικλινοσὰξ Κοσσοτραπέζῳ

*Triclinosax to-Cossotrapezus*

Ἐξηγόρευσα Μνησιλόχῳ τῷ Παιανιεῖ τὴν τῆς γαμετῆς
*I-disclosed to-Mnesilochus the Paeanian the of-the wife*
ἀσέλγειαν· καὶ ὃς δέον βασανίσαι δι᾽ ἐρεύνης τὸ
*licentiousness and he when-it-was-needful to-test by inquiry the*
πρᾶγμα ποικίλης, ὅρκῳ τὸ πᾶν ὁ χρυσοῦς ἐπέτρεψεν.
*affair manifold to-an-oath the whole the golden-one entrusted*
ἀγαγοῦσα οὖν αὐτὸν ἡ γυνὴ εἰς τὸ Καλλίχορον τὸ
*having-brought then him the wife to the Callichorus the*
ἐν Ἐλευσῖνι φρέαρ ἀπωμόσατο καὶ ἀπελύσατο τὴν
*at Eleusis well she-swore-it-off and acquitted-herself-of the*
αἰτίαν. καὶ ὁ μὲν ἀμογητὶ πέπεισται καὶ τὴν ὑποψίαν
*charge and he indeed without-toil has-been-persuaded and the suspicion*
ἀπέβαλεν· ἐγὼ δὲ τὴν φλυαρὸν γλῶτταν ἀποτέμνειν
*has-thrown-off I and the babbling tongue to-cut-off*
ὀστράκῳ Τενεδίῳ τοῖς βουλομένοις ἕτοιμός εἰμι παρέχειν.
*with-a-shard Tenedian to-those wishing ready am to-offer*

70

## Λιμοπύκτης Θρασοκυδοίμῳ

*Limopyctes to-Thrasocydoemus*

Κορύδωνι τῷ γεωργῷ συνήθης ἐπιεικῶς ἦν, καὶ τὰ
*with-Corydon the farmer familiar fairly I-was and the*
πολλὰ ἐξεχεῖτο ἐν ἐμοὶ τῷ γέλωτι, ἀστικῆς στωμυλίας
*most he-poured-out at me with-the laughter of-town glibness*
καὶ ξένης οὐ κατὰ τοὺς χωρίτας ἐπαΐων. τοῦτον ἰδὼν
*and foreign not like the country-folk perceiving this-one having-seen*

ἔρμαιον ὠήθην, εἰ τῶν κατὰ ἄστυ πραγμάτων ἀπαλλαγεὶς
*a-windfall I-thought if from-the in town affairs freed*
εἰς τὸν ἀγρὸν βαδιοίμην καὶ συνεσοίμην ἀνδρὶ φίλῳ,
*to the country I-should-go and should-live-with a-man friend*
γεωργῷ ἀπράγμονι καὶ ἐργάτῃ, οὐκ ἐκ δικαστηρίων οὐδὲ
*farmer free-of-business and worker not from law-courts nor*
ἐκ τοῦ σείειν κατὰ ἀγορὰν ἀδίκους ἐπινοοῦντι πόρους,
*from the to-extort in market unjust devising means*
ἀλλὰ γῆθεν ἀναμένοντι τὴν ἐπικαρπίαν ἔχειν. καὶ δῆτα
*but from-the-earth waiting the produce to-have and indeed*
διανοηθεὶς ταῦθ' οὕτω δρᾶν, ᾠκειωσάμην τὸν Κορύδωνα.
*having-considered these-things so to-do I-made-intimate — Corydon*
καὶ στείλας ἐμαυτὸν ἀγροικικῶς, νάκος ἐναψάμενος καὶ
*and having-dressed myself rustically a-fleece having-fastened-on and*
σμινύην λαβών, αὐτοσκαπανεὺς ἐδόκουν. ἕως μὲν οὖν ἐν
*a-hoe having-taken a-real-digger I-seemed while indeed then in*
παιδιᾶς μέρει ἔπραττον ταῦτα, ἀνεκτὸν ἦν καὶ μεγάλα
*of-play part I-did these-things bearable it-was and great*
ἀποκερδαίνειν ᾠόμην, ὕβρεων καὶ ῥαπισμάτων καὶ τῆς περὶ
*to-gain I-thought of-insults and of-slaps and of-the about*
τὰ ἐδώδιμα τῶν πλουσίων ἀνισότητος ἀπηλλαγμένος. ἐπεὶ
*the food of-the rich inequality freed when*
δὲ ἐκ τῆς καθ' ἡμέραν συνηθείας ἐξ ἐπιταγῆς ἐπράττετο
*but from the by day familiarity from command was-done*
τοὖργον, καὶ ἔδει πάντως ἢ ἀροῦν ἢ φελλέα
*the-work and it-was-needful by-all-means either to-plow or stony-ground*
ἐκκαθαίρειν ἢ γύρους περισκάπτειν καὶ τοῖς βόθροις
*to-clear or trenches to-dig-round and in-the pits*
ἐμφυτεύειν, οὐκέτ' ἀνασχετὸς ἡ διατριβή, ἀλλά μοι μετέμελε
*to-plant no-longer bearable the life but to-me came-regret*
τῆς ἀλόγου πράξεως καὶ τὴν πόλιν ἐπόθουν. ἐλθὼν οὖν ἐπὶ
*of-the irrational deed and the city I-longed-for having-come then after*

μήκιστον χρόνον οὐκέθ' ὁμοίως δεκτὸς οὐδὲ χαρίεις ἐδόκουν,
*very-long time no-longer equally welcome nor charming I-seemed*
ἀλλά τις ὄρειος καὶ τραχὺς καὶ ἀπηχής, ὥστε αἱ
*but some mountain-dweller and rough and harsh-sounding so-that the*
μὲν οἰκίαι τῶν πλουσίων πᾶσαί μοι λοιπὸν ἀπεκέκλειντο,
*indeed houses of-the rich all to-me thereafter had-been-shut*
ὁ δὲ λιμὸς τὴν γαστέρα ἐθυροκόπει. ἐγὼ δὲ αὖος ὢν
*the and hunger the belly knocked-at I but dry being*
ὑπὸ τῆς τῶν ἀναγκαίων ἐνδείας λῃσταῖς τισι Μεγαρικοῖς,
*from the of-the necessities lack with-robbers some Megarian*
οἳ περὶ τὰς Σκειρωνίδας τοῖς ὁδοιπόροις ἐνεδρεύουσιν,
*who about the Scironian to-the travelers lie-in-wait*
ἐκοινώνησα. ἔνθεν ὁ βίος μοι ἀργὸς ἐξ ἀδικίας πορίζεται.
*I-joined whence the life for-me idle from injustice is-procured*
εἰ δὲ λήσω ταῦτα ποιῶν ἢ μή, ἄδηλον. δέδια
*if but I-shall-escape-notice these-things doing or not unclear I-fear*
δὲ τὴν μεταλλαγὴν τοῦ βίου. εἰώθασι γὰρ αἱ τοσαῦται
*and the change of-the life are-wont for the so-great*
μεταβολαὶ οὐκ εἰς τὸ ζῆν ἀλλ' εἰς ἀπώλειαν καταστρέφειν.
*changes not to the to-live but to destruction to-end*

71

## Φιλάπορος Ψιχομάχῳ

*Philaporus to-Psichomachus*

Δεξιφάνης ὁ τῆς κωμῳδίας ποιητὴς θεασάμενός με
*Dexiphanes the of-the comedy poet having-beheld me*
ὀργιζόμενον πρὸς τὰς ἐν συμποσίοις παροινίας, λαβὼν
*being-angry at the in drinking-parties drunken-outrages having-taken*
καθ' ἑαυτὸν πρῶτα μὲν ἐνουθέτει μὴ τοιαῦτα ἐπιτηδεύειν
*by himself first indeed admonished not such-things to-practice*

ἐξ ὧν ὕβρις τὸ τέλος, ἔπειτα τοῦ φωνήματος ὡς
*from which insult the end then of-the voice how*
ἔχοιμι διὰ βραχέων ἀποπειραθεὶς τῷ χορῷ τῶν
*I-might-have through brief-words having-tested to-the chorus of-the*
κωμικῶν συλλαμβάνει. ἐκ τοῦδε τραφησόμενον ἔφασκε καὶ
*comic-players he-adds from this to-be-going-to-be-fed he-claimed also*
ἐμέ. ἐκέλευεν οὖν ἐκμαθόντα ∗∗∗ Διονυσίοις τοῖς ἐπιοῦσι
*me he-bade then having-learned (lacuna) at-the-Dionysia the coming*
τὸ τοῦ οἰκέτου σχῆμα ἀναλαβόντα τὸ μέρος ἐκεῖνο τοῦ
*the of-the servant guise having-taken-up the part that of-the*
δράματος ὑποκρίνασθαι. ἐγὼ δὲ ὀψὲ τοῦ καιροῦ καὶ φύσιν
*drama to-act I and late of-the time both nature*
καὶ ἐπιτήδευμα μεταβαλὼν δύσκολός τις καὶ δυσμαθὴς
*and pursuit having-changed difficult someone and slow-to-learn*
ἐφαινόμην. ἐπεὶ δ᾽ οὐκ ἦν ἑτέρως πράττειν, τὸ δρᾶμα
*I-appeared since but not it-was otherwise to-do the drama*
ἐξέμαθον, καὶ μελέτην ἀσκήσει ῥώσας ἕτοιμός εἰμι τῷ
*I-learned and practice by-exercise having-strengthened ready am to-the*
χορῷ συντελεῖν. σὺ δὲ ἡμῖν μετὰ τῶν συνήθων ἐπίσειε τοὺς
*chorus to-contribute you and for-us with the friends stir-up the*
κρότους ἵνα, κἄν τι λάθωμεν ἀποσφαλέντες, μὴ λάβῃ
*claps so-that even-if anything we-unwittingly having-slipped not may-take*
χώραν τὰ ἀστικὰ μειράκια κλώζειν ἢ συρίττειν, ἀλλ᾽ ὁ
*place the town youths to-cluck or to-hiss but the*
τῶν ἐπαίνων κρότος τὸν θροῦν τῶν σκωμμάτων παραλύσῃ.
*of-the praises clapping the noise of-the jeers may-drown*

72

## Οἰνοχαίρων Ῥαφανοχορτάσῳ

*Oenochaeron to-Rhaphanochortasus*

Οὐχ οὕτως οἱ τοὺς Ἑρμᾶς περικόψαντες ἢ τὰ τῆς θεοῦ
*not so those the Herms having-mutilated or the of-the goddess*
ἐν Ἐλευσῖνι μυστήρια ἐξορχησάμενοι τὸν περὶ ψυχῆς
*at Eleusis mysteries having-danced-out-(in-mockery) the for life*
ἀγῶνα ὑπέμειναν, ὡς ἐγὼ εἰς χεῖρας ἐμπεσών, ὦ θεοί, τῆς
*contest endured as I into hands having-fallen O gods of-the*
μιαρωτάτης Φανομάχης. ἐπεὶ γὰρ ἔγνω τὸν ἑαυτῆς ἄνδρα
*most-foul Phanomache since for she-knew the her-own husband*
προσκείμενον τῇ Ἰωνικῇ παιδίσκῃ τῇ τὰς σφαίρας
*devoted to-the Ionian girl the-one the balls*
ἀναρριπτούσῃ καὶ τὰς λαμπάδας περιδινούσῃ, ὑπετόπησεν
*tossing and the torches whirling she-suspected*
ἐμὲ πρόξενον εἶναι τῆς κοινωνίας, καὶ διὰ τῶν οἰκετῶν
*me agent to-be of-the intercourse and through the servants*
ἀναρπάσασα παραχρῆμα μὲν ἐν κυσοδόχῃ δήσασα
*having-snatched-up at-once indeed in a-pillory having-bound*
κατέσχεν, εἰς τὴν ὑστεραίαν δὲ παρὰ τὸν ἑαυτῆς ἦγε
*she-held-(me) to the next-day and to the her-own led-(me)*
πατέρα, τὸν σκυθρωπὸν Κλεαίνετον, ὃς τὰ νῦν δὴ ταῦτα
*father the sullen Cleaenetus who the now indeed these-things*
πρωτεύει τοῦ συνεδρίου καὶ εἰς αὐτὸν ὁ Ἄρειος πάγος
*leads the council and to him the of-Ares hill*
ἀποβλέπουσιν. ἀλλ' ὅταν τινὰ θέλωσιν οἱ θεοὶ σώζεσθαι, καὶ
*look but when someone wish the gods to-be-saved even*
ἐξ αὐτῶν ἀνασπῶσι βαράθρων, ὡς κἀμὲ τοῦ τρικαρήνου
*from very they-draw-up pits as me-too from-the three-headed*
κυνός, ὅν φασιν ἐφεστάναι ταῖς ταρταρίαις πύλαις,
*dog which they-say to-stand-at the tartarean gates*

ἐξήρπασαν. οὐκ ἔφθη γὰρ τὰ κατ᾽ ἐμὲ ὁ δεινὸς ἐκεῖνος
*they-snatched not he-was-first for the about me the dread that*
πρεσβύτης τῇ βουλῇ κοινούμενος, καὶ ἠπιάλῳ συσχεθεὶς
*old-man to-the council communicating and by-ague seized*
εἰς τὴν τρίτην ἀπέψυξε. καὶ ὁ μὲν ἐκτάδην κεῖται, πρὸς
*on the third-(day) breathed-his-last and he indeed stretched-out lies for*
τὴν ἐκφορὰν τῶν οἴκοι παρασκευαζομένων, ἐγὼ δὲ
*the carrying-out with-those at-home preparing I and*
ᾗ ποδῶν εἶχον ᾠχόμην καὶ σώζομαι οὐχ ὑπὸ τοῦ τῆς
*as-fast-as of-feet I-had went-off and am-saved not by the of-the*
Ἀτλαντίδος Μαίας παιδὸς ψυχαγωγηθείς, ἀλλ᾽ ὑπὸ τῶν
*Atlantid Maia son conducted but by the*
ποδῶν καὶ τοῦ τολμήματος τὴν ἐλευθερίας πορίσας ἀτραπόν.
*feet and the daring the of-freedom having-found path*

73

## Κωμαρχίδης Εὐχαίτῃ

*Comarchides to-Euchaetes*

Ἡ ὗς ἡ πρώην ἐπίτεξ εἶναι νομιζομένη ἀρτίως
*the sow the-one lately about-to-farrow to-be thought just-now*
τέτοκε, καὶ ἔχω δελφάκων ἀφθονίαν· γρύζουσι δὲ μάλ᾽
*has-farrowed and I-have of-piglets abundance they-grunt and very*
ἀηδές, ἀλλ᾽ ἐδώδιμον. μεταδίδωμι δῆτα καὶ σοὶ δύο
*unpleasantly but edible-(they-are) I-share indeed also with-you two*
τούτων ἔχειν. οὔτε γὰρ πάντας οἷός τέ εἰμι τρέφειν
*of-these to-have neither for all able — I-am to-feed*
τῶν κριθίων ὀλίγων ὄντων, καὶ ἅμα τοῖς φίλοις
*the barley little being and at-the-same-time with-the friends*
κοινωνεῖν τοὺς ἐν περιουσίαις ὄντας ἀγροικικῇ πρέπον
*to-share those in abundance being for-rustic fitting*

ἐπιεικείᾳ, οἵους ἡμᾶς ἡ φιλτάτη γῆ ἁπλοϊκοὺς καὶ
*fairness such-as us the dearest earth simple and*
φιλαλλήλους τοὺς ἑαυτῆς τροφίμους ἀνεθρέψατο.
*mutually-loving the her-own nurslings reared*

74

## Φρυγοκοίλης Βορβοροζώμῳ

*Phrygocoeles to-Borborozomus*

Ὑβρίζεσθαι πρὸς τοῦ τρέφοντος, εἰ καὶ ἀνόσιον, φορητόν,
*to-be-insulted by the one-feeding-(me) if even unholy bearable*
ἅπαξ ἀποδόμενον τὸ σῶμα τοῖς προπηλακίζειν ἐθέλουσιν
*once having-sold the body to-those to-mistreat wishing*
ἕνεκα τῆς ἀθεμίτου γαστρός· τὸ δὲ καὶ ὑπὸ τῶν
*for-the-sake of-the lawless belly the but also by the*
συμπαρόντων, πολλῷ βαρύτερον· τὸ δὲ μὴ μόνον ὑπὸ τούτων
*present-company much heavier the but not only by these*
ἀλλὰ καὶ ὑπὸ τῶν ἰταμωτέρων οἰκετῶν, ἔτι χαλεπώτερον.
*but also by the more-impudent servants still harsher*
εἰ δὲ προσθείην καὶ τὰς θεραπαινίδας κιχλιζούσας καὶ
*if but I-should-add also the maidservants giggling and*
μωκωμένας καὶ γέλωτα τὴν ἡμετέραν ἀτυχίαν ποιουμένας,
*mocking and laughter the our misfortune making*
τότε σχετλιάζων καθ' Ὅμηρον ἀποδυσπετῶ. τοῦτο γὰρ
*then complaining after Homer I-am-discontented this for*
Αὐτόχθονος ἤκουσα τοῦ γραμματικοῦ ποτε καὶ μνήμῃ
*from-Autochthon I-heard the grammarian once and in-memory*
συνέχω "Ζεῦ πάτερ· οὔτις σεῖο θεῶν ὀλοώτερος ἄλλος".
*hold Zeus father no-one than-you of-gods more-destructive other*
ὀλέθριοι γὰρ ἀληθῶς οἱ δαίμονες οἱ ταῦτα ἐφ' ἡμῖν
*destructive for truly the spirits those these-things over us*

πρυτανεύοντες, ἵν' ἐγὼ μὲν ὑπομένω κινδύνους ἀλγεινούς,
*presiding so-that I indeed endure dangers painful*
γέλωτος δὲ ὑπόθεσις τοῖς χειρίστοις τἀμά.
*of-laughter and occasion for-the worst my-affairs*

## FRAGMENTS

*Fragments of further letters. Phryne thanks Praxiteles for setting her statue between Aphrodite and Eros at Thespiae and invites him to lie with her in the precinct; Leaena mocks Philodemus' bride, with her lurid complexion, false locks, white lead, and broad feet; the courtesans of Corinth warn those of Athens of the beauty of Lais. A courtesan describes a picnic at a lover's farm: a sacrifice to the Nymphs and Aphrodite, a couch of myrtle by a spring, Italian wine, music and dancing, love-making in a thicket, and a feast that lasted until the cock crowed.*

1

### Λυσίᾳ

*to-Lysias*

Ἀλλ' ἤκουσά σε, ὦ Λυσία, ἀπὸ τοῦ ἀγῶνος τοῦ ἐν
*but I-heard you O Lysias from the contest the at*
Ἐρετρίᾳ συνεχῶς μεθύσκεσθαι.
*Eretria continually to-get-drunk*

2

### Παυλάχανος Μονογναθίῳ

*Panlachanus to-Monognathius*

Ἐξώλεις ἀπόλοιντο οἱ Κλεισθένεις καὶ οἱ Δράκοντες.
*utterly may-they-perish the Cleistheneses and the Dracos*

3

## Φρύνη Πραξιτέλει

*Phryne to-Praxiteles*

*** μὴ δείσῃς· ἐξείργασαι γὰρ πάγκαλόν τι χρῆμα, οἷον
*(lacuna) not fear you-have-wrought for very-beautiful some thing such-as*
ἤδη τίς σοι τῶν πάν *** οὐδεὶς τῶν κατὰ χειρῶν
*already someone to-you of-the (fragment) (lacuna) no-one of-those by hands*
πονηθέντων, τὴν σεαυτοῦ ἑταίραν ἱδρύσας ἐν τεμένει·
*having-been-wrought the your-own courtesan having-set-up in a-precinct*
μέση γὰρ ἕστηκα ἀπὸ τῆς Ἀφροδίτης καὶ τοῦ Ἔρωτος
*in-the-middle for I-stand from — Aphrodite and — Eros*
ἅμα τοῦ σοῦ. μὴ φθονήσῃς δέ μοι τῆς τιμῆς· οἱ γὰρ
*together-with the your not begrudge and me the honor those for*
ἡμᾶς θεασάμενοι ἐπαινοῦσι Πραξιτέλη, καὶ ὅτι τῆς σῆς
*us having-beheld praise Praxiteles and because of-the your*
τέχνης γέγονα οὐκ ἀδοξοῦσί με Θεσπιεῖς μέσην
*art I-am not they-think-it-unseemly me Thespians in-the-middle*
κεῖσθαι θεῶν. ἓν ἔτι τῇ δωρεᾷ λείπει, ἐλθεῖν σε πρὸς
*to-lie of-gods one still to-the gift is-lacking to-come you to*
ἡμᾶς, ἵνα ἐν τῷ τεμένει μετ᾽ ἀλλήλων κατακλινῶμεν· οὐ
*us so-that in the precinct with one-another we-may-lie-down not*
μιανοῦμεν γὰρ τοὺς θεούς, οὓς αὐτοὶ πεποιήκαμεν. ἔρρωσο.
*we-will-defile for the gods whom ourselves we-have-made farewell*

4

## Λέαινα Φιλοδήμῳ

*Leaena to-Philodemus*

Εἶδόν σου τὴν νύμφην μυστηρίοις καλὸν περιβεβλημένην
*I-saw your the bride at-the-mysteries a-fine having-put-on*
θέριστρον· ἐλεῶ σε νὴ τὴν Ἀφροδίτην, ταλαίπωρε, οἷα
*summer-cloak I-pity you by — Aphrodite wretch what-things*
πάσχεις μετ᾽ ἐκείνης καθεύδων τῆς χελώνης. οἷον τὸ
*you-suffer with that-one sleeping the tortoise what the*
χρῶμα γυναικός, αὐτοσανδαράκη· ἡλίκους δὲ καθεῖτο
*color of-the-woman sheer-realgar how-long and had-let-down*
τοὺς πλοκάμους ἡ νύμφη, οὐδὲν ἐοικότας ταῖς ἐπὶ τῆς
*the locks the bride not-at-all resembling the on the*
κορυφῆς θριξίν. ὅσον δὲ κατεπέπλαστο ψιμύθιον· καὶ
*crown hairs how-much and she-had-plastered-on white-lead and*
ἡμᾶς τὰς ἑταίρας λοιδοροῦσιν ὅτι καλλωπιζόμεθα. ἀλλὰ
*us the courtesans they-revile because we-beautify-ourselves but*
μεγάλην εἶχεν ἄλυσιν (ἀξία γέ ἐστιν ἐν ἁλύσει διατελεῖν
*a-great she-had chain worthy at-least she-is in a-chain to-pass-her-life*
πλὴν οὐχὶ χρυσῆ) φάσματος ἔχουσα πρόσωπον. ἡλίκοι
*except not golden of-a-phantom having a-face how-big*
δὲ οἱ πόδες, ὡς πλατεῖς, ὡς ἄρρυθμοι. αἰαῖ γυμνὴν
*and the feet how broad how shapeless alas naked*
περιλαβεῖν ἐκείνην οἷόν ἐστιν· ἐμοὶ μὲν καὶ βαρύ τι
*to-embrace that-one what it-is to-me indeed even heavy something*
δοκεῖν προσπνέειν· μετὰ φρύνου καθεύδειν ἂν εἱλόμην,
*to-seem to-breathe-on with a-toad to-sleep — I-would-have-chosen*
Νέμεσι δέσποινα. ἐμβλέψαι τί μὴ δωρίδι βούλομαι
*Nemesis mistress to-look-at something not in-a-Dorian-dress I-wish*
ἢ μετὰ τῆς ἁλύσεως καὶ τῶν περισκελίδων συγκερ ∗∗∗·
*or with the chain and the anklets (fragment) (lacuna)*

5

## Αἱ ἐν Κορίνθῳ ἑταῖραι ταῖς ἐν ἄστει χαίρειν

*the in Corinth courtesans to-those in town greeting*

Οὐκ ἐπύθεσθε τὰ νεώτερα νῦν πράγματα; οὐκ ἠκούσατε
*not did-you-learn the newer now affairs not did-you-hear*
καινὸν ἑταίρας ὄνομα; ὦ πόσον ἡμῖν ἐπιτετείχισται
*new of-a-courtesan name oh how-great against-us has-been-fortified*
χρῆμα, Λαῒς ὑπὸ Ἀπελλοῦ τοῦ ζωγράφου θηριοτροφηθεῖσα.
*a-thing Lais by Apelles the painter reared-like-a-beast*
ἀθλίαι, κλείσατε τὰ ἐργαστήρια αὐτῶν, μᾶλλον δὲ καὶ
*wretches shut the workshops your-own rather and also*
ἑαυτὰς ἀποκλείσατε· μία νῦν ἐστιν ἡ τὴν Ἑλλάδα ὅλην
*yourselves shut-in one now is the — Greece whole*
διασοβοῦσα γυνή, μία· Λαῒς ἐν τοῖς κουρείοις, Λαῒς ἐν τοῖς
*setting-aflutter woman one Lais in the barbershops Lais in the*
θεάτροις, ἐν ταῖς ἐκκλησίαις, ἐν τοῖς δικαστηρίοις, ἐν τῇ
*theaters in the assemblies in the law-courts in the*
βουλῇ· πανταχῇ πάντες αὐτὴν λαλοῦσιν, νὴ τὴν Ἀφροδίτην,
*council everywhere all her talk-of by — Aphrodite*
καὶ οἱ κωφοὶ διανεύουσιν ἀλλήλοις τὸ ἐκείνης κάλλος·
*even the mute nod to-one-another the of-her beauty*
οὕτω γλῶσσα γίνεται καὶ τοῖς λαλεῖν μὴ δυναμένοις
*so a-tongue becomes even for-those to-speak not being-able*
Λαῒς. εἰκότως· ἐνδεδυμένη μὲν γὰρ εὐπροσωποτάτη ἐστίν,
*Lais fittingly clothed indeed for most-fair-faced she-is*
ἐκδῦσα δὲ ὅλη πρόσωπον φαίνεται, οὔτε κατάξηρος οὔτε
*having-undressed and whole face appears neither too-lean nor*
κατάσαρκος, ἀλλ' οἵας λέγομεν ἡμεῖς τὰς ἰσχνεγχύλους·
*too-fleshy but such-as call we the lean-and-juicy*
τρίχες ἐνουλισμέναι φύσει, ξανθίζουσαι δὲ ἀφαρμάκευτα
*hairs curled by-nature showing-blond and undyed*

καὶ τῶν ἀκρωμίδων ὑπερκεχυμέναι μαλακῶς. ὀφθαλμοὶ
*and over-the shoulder-tips poured softly eyes*
δὲ νὴ τὴν Ἄρτεμιν ὅλης σελήνης εὐκυκλότεροι· καὶ
*and by — Artemis than-the-whole moon rounder and*
τὸ μέλαν αἱ κόραι μελάνταται καὶ τὸ κύκλῳ λευκόν.
*the black the pupils blackest and the in-a-circle white*

6

*** ἐραστοῦ χωρίον Νύμφαις θυσίαν λέγουσα ὀφείλειν.
*(lacuna) of-a-lover farm to-the-Nymphs a-sacrifice saying to-owe*
εἴκοσιν ἀπέχει τῆς πόλεως στάδια· αὐτὸ δ' ἐστὶ λειμών
*twenty is-distant from-the city stades it and is a-meadow*
τις ἢ κῆπος· ὀλίγη δὲ παρὰ τὴν ἔπαυλιν ἀνεῖται σπόριμος,
*some or garden little and beside the farmhouse is-left for-sowing*
τὰ δὲ λοιπὰ κυπαρίττια καὶ μυρρίνη, ἐρωτικοῦ, φίλη,
*the and rest cypresses and myrtle of-a-lover dear*
κτημάτιον ὄντως, οὐ γεωργοῦ. εὐθὺς μὲν ἡ ἄφοδος ἡμῶν
*little-estate truly not of-a-farmer at-once indeed the going-away our*
εἶχέ τινα παιδιάν· τὰ μὲν γὰρ ἀλλήλας ἐσκώπτομεν ἢ
*had some fun partly indeed for one-another we-mocked or*
τοὺς ἐραστάς, τὰ δ' ὑπὸ τῶν ὑπαντώντων ἐρρινώμεθα.
*the lovers partly and by those meeting-(us) we-were-filed-at*
Νικίας δ' ὁ λάσταυρος οὐκ οἶδα πόθεν ἐπανιών "ποῦ"
*Nicias and the lecher not I-know from-where coming-back where*
φησίν ἡμῖν "ἀθρόαι; τίνος ἄπιτε ἐκπιεῖν ἀγρόν;
*he-says to-us all-together whose are-you-going-off to-drink-up farm*
μακάριον ἐκεῖνο τὸ χωρίον ὅποι βαδίζετε, ὅσας ἕξει
*blessed that the place whither you-go how-many it-will-have*

συκᾶς." τοῦτον μὲν οὖν Πετάλη ἀπεσόβησε κωμῳδήσασα
*figs him indeed then Petale shooed-off having-lampooned-(him)*
ἀκολάστως. ἀπέπτυσε γὰρ ἡμᾶς καὶ ἀκαθάρτους εἰπὼν
*licentiously he-spat-at for us and unclean having-said*
ἀπεφθάρη. ἡμεῖς δὲ πυρακάνθας ἀφαιροῦσαι καὶ κλωνία
*took-himself-off we and fire-thorns plucking and little-twigs*
καὶ ἀνεμώνας συλλέγουσαι παρῆμεν αἰφνιδίως ἔλαθε
*and anemones gathering arrived suddenly escaped-notice*
δ' ἡμᾶς ἡ ὁδὸς διὰ τὴν παιδιὰν ὡς οὐδ' ᾠήθημεν
*and us the road because-of the fun so-that not-even we-thought*
ταχέως ἀνυσθεῖσα. εὐθὺς δὲ περὶ τὴν θυσίαν ἦμεν.
*quickly having-been-completed straightway and about the sacrifice we-were*
μικρὸν δὲ ἄπωθεν τῶν ἐπαυλίων πέτρα τις ἦν συνηρεφὴς
*a-little and away-from the farm-buildings rock some was overshadowed*
κατὰ κορυφὴν δάφναις καὶ πλατανίστοις, ἑκατέρωθεν δὲ
*at top with-laurels and plane-trees on-either-side and*
μυρρίνης εἰσὶ θάμνοι, καί πως ἐξ ἐπιβολῆς αὐτὴν περιθεῖ
*of-myrtle are bushes and somehow from overlaying it runs-round*
κιττὸς ἐν χρῷ τῇ λίθῳ προσπεφυκώς· ἀπὸ δὲ αὐτῆς ὕδωρ
*ivy at the-skin to-the stone grown-onto from and it water*
ἀκήρατον ἐστάλαττεν. ἐπὶ δὲ ταῖς ἐξοχαῖς τῶν πετριδίων
*pure dripped on and the projections of-the little-rocks*
Νύμφαι τινὲς ἵδρυνται καὶ Πὰν οἷον κατοπτεύων τὰς Ναΐδας
*Nymphs some are-set-up and Pan as-if spying-on the Naiads*
ὑπερέκυπτεν· ἀντικρὺ βωμὸν αὐτοσχεδίως ἐνήσαμεν, εἶτα
*peeped-over opposite an-altar offhand we-heaped then*
σχιζία καὶ πόπανα ἐπ' αὐτῷ θέμεναι καταρχόμεθα λευκῆς
*kindling and cakes on it having-placed we-begin-the-rite of-a-white*
ἀλεκτορίδος, καὶ μελίκρατον ἐπισπείσασαι καὶ λιβανωτὸν
*hen and honey-mixture having-poured-on and frankincense*
ἐπιθυμιάσασαι τῷ πυριδίῳ καὶ προσευξάμεναι πολλὰ μὲν
*having-burned-on on-the little-fire and having-prayed much indeed*

ταῖς Νύμφαις πλείω δὲ ἢ οὐκ ἐλάττω τῇ Ἀφροδίτῃ,
*to-the Nymphs more and or not less — to-Aphrodite*
ἱκετεύομεν διδόναι τινὰ ἡμῖν ἐρωτικὴν ἄγραν. τὸ λοιπὸν
*we-beseech to-give some to-us amorous catch the rest*
εὐτρεπεῖς ἐπὶ τὴν εὐωχίαν ἦμεν. "Ἴωμεν" ἔφη ἡ Μέλισσα
*ready for the feast we-were let-us-go said — Melissa*
"οἴκαδε καὶ κατακλινῶμεν." "μὴ μὲν οὖν πρός γε τῶν
*home and let-us-lie-down no indeed then by at-least the*
Νυμφῶν καὶ τοῦ Πανός" εἶπον ἐγώ "τούτου· ὁρᾷς γὰρ
*Nymphs and — Pan said I of-this-one you-see for*
ὡς ἔστιν ἐρωτικός· ἡδέως ἂν ἡμᾶς ἐνταῦθα κραιπαλώσας
*how he-is amorous gladly — us here getting-drunk*
ἴδοι· ἀλλ' ὑπὸ ταῖς μυρρίναις ἴδ' ἰδοὺ τὸ χωρίον ὡς
*he-would-see but under the myrtles lo look the place how*
ἔνδροσόν ἐστιν ἐν κύκλῳ καὶ τρυφεροῖς ἄνθεσι ποικίλον.
*dewy it-is in a-circle and with-delicate flowers varied*
ἐπὶ ταύτης βουλοίμην ἂν τῆς πόας κατακλιθῆναι ἢ ἐπὶ
*on this I-would-wish — the grass to-lie-down than on*
τῶν ταπητίων ἐκείνων καὶ τῶν μαλθακῶν ὑποστρωμάτων,
*those rugs those and the soft coverlets*
νὴ Δία· ἀλλὰ ἔχει τοί τι πλέον τῶν ἐν ἄστει
*by Zeus but has surely something more than-the in town*
τἀνταῦθα συμπόσια, ἔνθα ἀγροῦ ὑπαίθριοι χάριτες."
*the-here drinking-parties where of-the-country open-air charms*
"ναὶ ναί, λέγεις καλῶς" ἔφασαν· εὐθὺς οὖν κατακλώμεναι
*yes yes you-say well they-said straightway then breaking*
αἱ μὲν σμίλακος αἱ δὲ μυρρίνης κλάδους
*the-ones indeed of-bindweed the-others and of-myrtle branches*
καὶ τὰ χλανίσκια ἐπιστορέσασαι αὐτοσχεδίως στιβάδα
*and the little-cloaks having-spread-over offhand a-couch*
συνερράψαμεν. ἦν δὲ καὶ τοὔδαφος λωτῷ καὶ τριφύλλῳ
*we-stitched-together was and also the-ground with-clover and trefoil*

μαλθακόν· ἐν μέσῳ κύκλῳ καί τινες ὑάκινθοι καὶ ἄνθεμα
*soft in the-middle in-a-circle and some hyacinths and flowers*
διαποίκιλα τὴν ὄψιν ὡραΐζον· ἐαρινοῖς ἐφιζάνουσαι πετάλοις
*many-colored the view adorning on-spring sitting leaves*
ἡδὺ καὶ κωτίλον ἀηδόνες ἐψιθύριζον, ἠρέμα δὲ οἱ σταλαγμοὶ
*sweet and chattering nightingales whispered gently and the drops*
καταλειβόμενοι ἀπὸ τῆς οἷον ἱδρούσης σπιλάδος τρυφερόν
*trickling from the as-if sweating rock delicate*
τινα παρεῖχον ψόφον ἐαρινῷ πρέποντα συμποσίῳ. οἶνος
*some provided sound for-a-spring fitting drinking-party wine*
ἦν οὐκ ἐπιχώριος, ἀλλὰ Ἰταλός, οἵου ἓξ ἔφης καδίσκους
*was not local but Italian of-which six you-said jars*
ἐξ Ἐλευσῖνος ἐωνῆσθαι, σφόδρα ἡδὺς καὶ ἄφθονος· ᾠά τε
*from Eleusis to-have-bought very sweet and abundant eggs both*
τρέμοντα ταῦτα ὥσπερ αἱ πυγαί, καὶ χιμαιρίδος ἁπαλῆς
*trembling these like the buttocks and of-a-kid tender*
τεμάχη καὶ ἀλεκτορίδες οἰκουροί· εἶτα γαλάκτια ποικίλα,
*slices and hens home-reared then milk-dishes various*
τὰ μὲν μελίπηκτα τὰ δ' ἀπὸ ταγήνου (πυτίας μοι
*the-ones indeed honey-set the-others and from frying-pan rennet-cakes to-me*
δοκῶ καλοῦσιν αὐτὰ καὶ σκώληκας τὰ πεμμάτια), ὅσα
*I-think they-call them and grubs the little-cakes as-many-as*
τε ἀγρὸς ἡμῖν ἐαρινῆς ὥρας ἐπεδαψιλεύετο. μετὰ δὲ τοῦτο
*and country for-us of-the-spring season lavished after and this*
συνεχῶς περιεσόβουν αἱ κύλικες· καὶ τὸ πιεῖν μέτρον ἦν
*continually went-round the cups and the to-drink measure was*
τρεῖς φιλοτησίας οὐ τὸ ποσόν. ἐπιεικῶς δέ πως τὰ
*three loving-cups not the amount reasonably and somehow the-things*
μὴ προσηναγκασμένα τῶν συμποσίων τῷ συνεχεῖ τὸ
*not compelled of-the drinking-parties by-the continuity the*
πλεῖον ἀναλαμβάνει. ὑπεψέκαζε μὲν μικροῖς τισι κυμβίοις
*more takes-up it-drizzled indeed with-small some little-cups*

ἀλλ᾽ ἐπαλλήλοις. καὶ παρῆν Κρουμάτιον ἡ Μεγάρας
*but successive and was-present Crumation the of-Megara*
καταυλοῦσα, ἡ δὲ Σιμμίχη πρὸς τὰ μέλη καὶ πρὸς τὴν
*piping — and Simmiche to the tunes and to the*
ἁρμονίαν ᾖδεν. ἔχαιρον αἱ ἐπὶ τῆς πίδακος Νύμφαι. ἡνίκα
*harmony sang rejoiced the at the spring Nymphs when*
δὲ ἀναστᾶσα κατωρχήσατο καὶ τὴν ὀσφῦν ἀνεκίνησεν ἡ
*and having-stood-up danced and the loins moved —*
Πλαγγών, ὀλίγου ὁ Πὰν ἐδέησεν ἀπὸ τῆς πέτρας ἐπὶ τὴν
*Plangon by-a-little — Pan fell-short from the rock onto the*
πυγὴν αὐτῆς ἐξάλλεσθαι. αὐτίκα δὲ ἡμᾶς ἔνδον ἐδόνησεν
*buttock her to-leap-out at-once and us within shook*
ἡ μουσικὴ καὶ ὑποβεβρεγμένον εἴχομεν τὸν νοῦν· οἶδας
*the music and soaked we-had the mind you-know*
ὅ τι λέγω. τὰς τῶν ἐραστῶν χεῖρας ἐμαλάττομεν τοὺς
*what ever I-say the of-the lovers hands we-softened the*
δακτύλους ἐκ τῶν ἁρμῶν ἠρέμα πως χαλῶσαι καὶ
*fingers from the joints gently somehow loosening and*
πρὸς διονύσῳ ἐπαίζομεν· καί τις ἐφίλησεν ὑπτιάσασα καὶ
*over wine we-played and one kissed having-leaned-back and*
μασταρίων ἐφῆκεν ἅψασθαι καὶ οἷον ἀποστραφεῖσα ἀτεχνῶς
*little-breasts let to-touch and as-if having-turned-away simply*
τοῖς βουβῶσι τὸ κατόπιν τῆς ὀσφύος προσαπέθλιβε.
*on-the groin the back of-the loins pressed*
διανίστατο δὲ ἤδη ἡμῶν μὲν τῶν γυναικῶν τὰ πλήθη,
*stood-up and already of-us indeed the women the most*
τῶν ἀνδρῶν δὲ ἔμεινεν· ὑπεκδυόμεναι δ᾽ οὖν μικρὸν
*of-the men and remained slipping-out and then a-little*
ἄπωθεν συνηρεφῆ τινα λόχμην εὕρομεν, ἀρκοῦντα τῇ
*away a-shady some thicket we-found sufficient for-the*
τότε κραιπάλῃ θάλαμον. ἐνταῦθα διανεπαυόμεθα τοῦ πότου
*then debauch a-bedchamber here we-rested-from the drinking*

καὶ τοῖς κοιτωνίσκοις ἀπιθάνως εἰσεπαίομεν· κἄπειτα ἡ
*and the little-chambers implausibly we-burst-into and-then the-one*
μὲν κλωνία μυρρίνης συνέδει ὥσπερ στέφανον ἑαυτῇ
*indeed twigs of-myrtle bound-together as-if a-garland for-herself*
πλέκουσα καὶ "εἰ πρέπει μοι, φίλη, σκέψαι", ἡ δ'
*weaving and if it-suits me dear look the-other and*
ἴων ἔχουσα κάλυκας ἐπανῄει "ὡς χρηστὸν ἀποπνεῖ"
*of-violets having buds came-back how good it-smells*
λέγουσα, ἡ δὲ μῆλα ἄωρα "ἰδοὺ ταυτί" ἐκ τοῦ
*saying the-other and apples unripe look these-here from the*
κόλπου προφέρουσα ἐπεδείκνυτο, ἡ δὲ ἐμινύριζεν,
*bosom bringing-out showed the-other and hummed*
ἡ δὲ φύλλα ἀπὸ τῶν κλωνίων ἀφαιροῦσα διέτρωγεν
*the-other and leaves from the twigs plucking nibbled*
ὥσπερ ἀκκιζομένη· καὶ τὸ δὴ γελοιότατον, πᾶσαι γὰρ
*as-if being-coy and the indeed most-laughable all for*
ἐπὶ ταὐτὸν ἀνιστάμεναι ἀλλήλας λανθάνειν ἐβουλόμεθα·
*to the-same standing-up one-another to-escape-notice we-wished*
θατέρᾳ δὲ οἱ ἄνθρωποι ὑπὸ τὴν λόχμην παρήρχοντο.
*on-the-other-side and the men under the thicket passed-by*
οὕτως μικρὰ παρεμπορευσάμεναι τῆς ἀφροδίτης πάλιν
*so little having-trafficked-on-the-side of-the love again*
συνειστήκει πότος· καὶ οὐκέθ' ἡμῖν ἐδόκουν προσβλέπειν
*stood-together the-drinking and no-longer to-us did-seem to-look-at-(us)*
ὡς πρότερον αἱ Νύμφαι, ἀλλ' ὁ Πὰν καὶ ὁ Πρίαπος
*as before the Nymphs but — Pan and — Priapus*
ἥδιον. ἐμφαγεῖν δ' ἦν πάλιν ὀρνίθια ταυτὶ τὰ τοῖς
*more-sweetly to-eat and there-was again little-birds these the in-the*
δικτύοις ἁλισκόμενα καὶ πέρδικες, καὶ ἐκ τρυγὸς ἥδιστοι
*nets caught and partridges and from must sweetest*
βότρυες, καὶ λαγωδίων νῶτα, εἶτα κόγχοι καὶ κήρυκες
*grapes and of-little-hares backs then mussels and whelks*

ἦσαν ἐξ ἄστεος κομισθέντες, καὶ ἐπιχώριοι κοχλίαι καὶ
*were from town brought and local snails and*
μύκητες οἱ ἀπὸ τῶν κομάρων, καὶ σισάρων εὐκάρδιοι ῥίζαι
*mushrooms the from the arbutus and of-skirrets heartening roots*
ὄξει δεδευμέναι καὶ μέλιτι· ἔτι μέντοι ὃ μάλιστα ἡδέως
*in-vinegar soaked and in-honey still however what most pleasantly*
ἐφάγομεν, θριδακῖναι καὶ σέλινα· ἡλίκαι δοκεῖς θριδακῖναι;
*we-ate lettuces and celery how-big you-think lettuces*
πλησίον δὲ ἦν ὁ κῆπος. ἑκάστη "ταύτην ἕλκυσον" "μὰ Δία
*near and was the garden each this pull by Zeus*
ἀλλά μοι ταύτην" "μὴ μὲν οὖν ἀλλὰ ἐκείνην" ἐλέξαμεν
*but for-me this no indeed then but that we-said*
ταῖς θεραπαινίσιν· ἦσαν δὲ αἱ μὲν εὔφυλλοι καὶ μακραί,
*to-the maidservants were and the-ones indeed leafy and long*
αἱ δὲ οὖλαι βοστρύχοις ἐμφερεῖς, ἀλλὰ βραχεῖαι,
*the-others and curly to-ringlets like but short*
ὑπόξανθος δέ τις τοῖς φύλλοις αὐτῶν ἐγκέχρωστο αὐγή· τὴν
*yellowish and some on-the leaves their was-colored gleam —*
Ἀφροδίτην λέγουσι ταύτας φιλεῖν. ἐρανίσασαι δ' οὖν καὶ
*Aphrodite they-say these to-love having-contributed and then and*
ἀναξανθεῖσαι τοὺς στομάχους ἐκραιπαλῶμεν μάλα νεανικῶς
*having-refreshed the stomachs we-were-drunk very vigorously*
μέχρι μηδὲ λανθάνειν ἀλλήλας θέλειν, μηδὲ αἰδουμένως
*until not-even to-escape-notice one-another to-wish nor modestly*
τῆς ἀφροδίτης παρακλέπτειν· οὕτως ἡμᾶς ἐξεβάκχευσαν
*of-the love to-steal so us drove-to-Bacchic-frenzy*
αἱ προπόσεις. μισῶ τὸν ἐκ γειτόνων ἀλεκτρυόνα· κοκκύσας
*the toasts I-hate the from neighbors cock having-crowed*
ἀφείλετο τὴν παροινίαν. ἔδει ἀπολαῦσαί σε τῆς γοῦν
*took-away the drunken-revel it-was-needful to-enjoy you the at-least*
ἀκοῆς τοῦ συμποσίου (τρυφερὸν γὰρ ἦν καὶ πρέπον
*hearing of-the drinking-party delicate for it-was and fitting*

ἐρωτικῇ ὁμιλίᾳ) εἰ καὶ μὴ τῆς παροινίας ἐδυνήθης·
*for-amorous company if even not the drunken-revel you-could*
ἐβουλόμην οὖν ἀκριβῶς ἕκαστα ἐπιστεῖλαι καὶ προὐτράπην
*I-wished then exactly each-thing to-write and I-was-urged*
*** σὺ δὲ εἰ μὲν οὕτως ἔσχηκας μαλακῶς, ὅπως
*(lacuna) you but if indeed so you-have-been softly how*
ἄμεινον ἕξεις σκόπει· εἰ δὲ τὸν ἐραστὴν προσδοκῶσα
*better you-will-be look-to if but the lover expecting*
ἥξειν ἔνδον οἰκουρεῖς, ἀλόγως οἰκουρεῖς. ἔρρωσο.
*to-come within you-keep-house unreasonably you-keep-house farewell*

---

AELIAN

# ΑΓΡΟΙΚΙΚΑΙ ΕΠΙΣΤΟΛΑΙ

*Letters of Farmers*

*Farmers write about the farm and its loves. Euthycomides tells of seducing Mania among the drying grapes; Comarchides fears for Hemeron, who has cut his leg on stony ground; Eupeithides threatens to sue a neighbor whose slave-girl steals his sheaves; Anthemion lists the vines, figs, and olives he has planted, then his dinner and sound sleep. Baeton mourns his bees, gone like daughters; Callarus asks a bullying neighbor where else the runoff can go, and says the farm will not be sold to him and its master will sue first. Dercylus courts the courtesan Opora for her name and sends her fruit; she answers that a courtesan ripens only once and she wants silver. Chremes learns too late that his friend was right about courtesans, after a soldier spoiled his chance with a pipe-girl, and Philerіphus offers to geld Simylus' lustful boar.*

1

## Εὐθυκομίδης Βλεπαίῳ

*Euthycomides to-Blepaeus*

Διαψύχοντί μοι πρὸς τὴν εἵλην τοὺς βότρυς ἡ Μανία
*drying to-me in the sunshine the grapes — Mania*
προσελθοῦσα ἐθρύπτετο καὶ ὡραϊζομένη πολλοῖς ἔβαλλε τοῖς
*having-come-up gave-herself-airs and preening with-many pelted the*
σκώμμασιν. ἐγὼ δὲ παλαιὸν δή τι ἐπιτεθυμμένος
*jests I and long indeed somewhat having-been-inflamed-for*
αὐτῆς διενοούμην τι δρᾶσαι θερμόν. ὡς οὖν ἀσμένης
*her was-intending something to-do hot when then of-her-glad*
ἐλαβόμην πλησιάσας, τὰς μὲν ῥᾶγας εἴασα, ἐφερπύσας
*I-took-hold having-approached the indeed grapes I-let-be having-crept-up*
δὲ καὶ μάλα ἀσμένως τῆς ὥρας ἐτρύγησα. ταῦτά σοι
*and also very gladly of-the ripeness I-harvested these-things to-you*
πρὸς τοῦ Πανὸς μυστήρια τὰ μεγάλα ἔστω.
*by — Pan mysteries the great let-them-be*

2

## Κωμαρχίδης Δρωπαίῳ

*Comarchides to-Dropaeus*

Ἡμέρων ὁ μαλακὸς φελλεῖ ἐπέκοψε τὸ σκέλος πάνυ
*Hemeron the soft on-stony-ground cut the leg very*
ἰσχυρῶς, καὶ θέρμη ἐπέλαβεν αὐτοῦ, καὶ βουβὼν ἐπήρθη.
*badly and fever took-hold-of him and a-groin-swelling rose*
βουλοίμην δ' ἂν αὐτὸν ἀναρρωσθῆναι ἤ μοι μεδίμνους
*I-would-wish and — him to-recover than for-me medimni*
ἰσχάδων ὑπάρξαι τέτταρας. τὴν οἶν τὴν τὰ μαλακὰ ἔρια,
*of-dried-figs to-come four the ewe the(-one) the soft wool*
ἣν ἐπαινῶ πρός σε, παρ' ἐμοῦ πρόσειπε, καὶ τὼ βοϊδίω
*which I-praise to you from me greet and the two-little-oxen*
καὶ τὴν κύνα καὶ τὴν Μανίαν καὶ αὐτὴν χαίρειν κέλευε.
*and the dog and — Mania also herself to-fare-well bid*

3

## Εὐπειθίδης Τιμωνίδῃ

*Eupeithides to-Timonides*

Ἀδικεῖ με ἡ παρὰ σοὶ σηκύλη παραιρουμένη τῶν
*wrongs me the at your-place slave-girl taking-away from-the*
δρηγμάτων καὶ παρακλέπτουσα. ἐὰν μὲν οὖν παύσηται,
*sheaves and filching if indeed then she-stops*
καλά σοι καὶ μενοῦμεν φίλοι· ἐὰν δὲ ἔχηται ἔργου,
*good-things for-you and we-will-remain friends if but she-keeps-at the-work*
δικάσομαί σε βλάβης. καὶ γὰρ ἂν εἰκότως μοι στενάξειε
*I-will-sue you for-damage and for — fittingly for-me would-groan*
τὰ τῶν προγόνων ἠρία, εἰ Εὐπειθίδης ὁ Κορυδαλλεὺς
*the of-the ancestors tombs if Eupeithides the Corydallian*

ἐμαυτὸν περιόψομαι προσελούμενον, καὶ ταῦτα ὑπ᾽
*myself I-shall-overlook being-maltreated and that by*
ἀνδραπόδου ἴσως δυοῖν μναῖν ἀξίου.
*a-slave perhaps two minas worth*

4

## Ἀνθεμίων Δράκητι

*Anthemion to-Draces*

Τί σοὶ καλὸν εἴργασται καὶ τί σοι πεπόνηται χρηστόν;
*what by-you fine has-been-done and what by-you has-been-labored useful*
ἐγὼ γὰρ ἀμπελίδος ὄρχον ἐλάσας, εἶτα μοσχίδια συκίδων
*I for of-vines a-row having-driven-in then shoots of-fig-trees*
παραφυτεύσας ἁπαλὰ [καὶ] ἐν κύκλῳ περὶ τὸ αὔλιον
*having-planted-beside tender — in a-circle around the farmyard*
κατέπηξα ἐλᾶδας. εἶτά μοι δεῖπνον καὶ πίσινον ἔτνος καὶ
*I-fixed olive-shoots then for-me dinner and of-peas soup and*
τρεῖς ἁδρὰς ἐξεκάναξα κύλικας καὶ ἀσμένως κατέδαρθον.
*three stout I-gulped-down cups and gladly fell-asleep*

5

## Βαίτων Ἀνθεμίωνι

*Baeton to-Anthemion*

Τὰ σμήνη μοι τῶν μελιττῶν κενά, καὶ ἀπεφοίτησαν
*the hives to-me of-the bees empty and they-have-gone-away-from*
τῆς ἑστίας οὐκ οὖσαι τέως δραπέτιδες, ἀλλὰ γὰρ καὶ
*the hearth not being till-now runaways but for both*
πισταὶ διέμενον καὶ ᾤκουν ὡς οἴκους τοὺς αὑτῶν
*faithful they-remained and dwelt as in-homes the their-own*

σίμβλους, καὶ εἶχον λειμῶνα εὔδροσον καὶ δὴ καὶ ἀνθῶν
*hives and they-had a-meadow dewy and indeed also of-flowers*
εὔφορον, καὶ εἱστιῶμεν αὐτὰς πανδαισίᾳ· αἳ δὲ ὑπὸ τῆς
*productive and we-feasted them with-a-banquet they and from the*
φιλεργίας τῆς ἄγαν ἀνθειστίων ἡμᾶς πολλῷ καὶ καλῷ τῷ
*industry the excessive feasted-in-return us with-much and fine the*
μέλιτι, κοὐδέποτε τῆσδε τῆς ὠδῖνος τῆς γλυκείας ἦσαν
*honey and-never of-this the labor the sweet they-were*
ἄγονοι. νῦν δὲ ᾤχοντο ἀπιοῦσαι λυπηθεῖσαι πρὸς ἡμῶν
*barren now and they-have-gone going-away grieved by us*
οὐδὲ ἕν, οὐ μὰ τὸν Ἀρισταῖον καὶ τὸν Ἀπόλλω αὐτόν.
*not-even one-bit not by — Aristaeus and — Apollo himself*
καὶ αἳ μέν εἰσι φυγάδες, ὁ δὲ οἶκος αὐτῶν χῆρός ἐστι,
*and they indeed are exiles the and home their bereft is*
καὶ τὰ ἄνθη τὰ ἐν τῷ λειμῶνι περὶ αὐτὰ γηρᾷ. Ἐγὼ δὲ
*and the flowers the in the meadow about themselves grow-old I and*
αὐτῶν ὅταν ὑπομνησθῶ τῆς πτήσεως καὶ τῆς εὐχαρίτου
*of-them when I-am-reminded of-the flight and of-the graceful*
χορείας, οὐδὲν ἄλλο ἢ νομίζω θυγατέρας ἀφῃρῆσθαι.
*dance nothing other than I-think daughters to-have-been-robbed-of*
ὀργίζομαι μὲν οὖν αὐταῖς· τί γὰρ ἀπέλιπον τροφέα
*I-am-angry indeed then with-them why for they-left the-nurturer*
αὐτῶν καὶ ἀτεχνῶς πατέρα καὶ φρουρὸν καὶ μελεδωνὸν οὐκ
*their and simply father and guard and caretaker not*
ἀχάριστον; δεῖ δέ με ἀνιχνεῦσαι τὴν πλάνην αὐτῶν καὶ
*ungrateful must and me to-track-down the wandering their and*
ὅποι ποτὲ ἀποδρᾶσαι κάθηνται καὶ τίς αὐτὰς ὑπεδέξατο
*where ever having-run-away they-sit and who them received*
καὶ τοῦτο· ἔχει γάρ τοι τὰς μηδὲν προσηκούσας. εἶτα
*and this holds for surely those nothing belonging then*
εὑρὼν ὀνειδιῶ πολλὰ τὰς ἀγνώμονας καὶ ἀπίστους.
*having-found I-will-reproach much the senseless and faithless*

6

## Κάλλαρος Καλλικλεῖ

*Callarus to-Callicles*

Καὶ ποῖ τις ἀποτρέψει τὸ ῥεῦμα, εἰ μήτε ἐς τὴν
*and where shall-anyone turn-aside the stream if neither into the*
ὁδὸν ἐμβαλεῖ, μήτε ἐς τὴν τῶν γειτόνων διαβήσεται; οὐ
*road it-shall-flow nor into the(-land) of-the neighbors it-shall-cross not*
γὰρ δήπου κελεύσεις ἡμᾶς ἐκπιεῖν αὐτό. πάλαι μὲν οὖν
*for surely you-will-bid us to-drink-up it long-ago indeed then*
λέλεκται κακὸν εἶναι γείτων κακός, πεπίστευται δὲ νῦν οὐχ
*it-has-been-said an-evil to-be a-neighbor bad it-has-been-believed and now not*
ἥκιστα ἐπὶ σοῦ. ἀλλ᾽ οὐδέν σοι πλέον τῆς βίας· οὐ γὰρ
*least in your-case but nothing to-you more from-the force not for*
ἀποδωσόμεθά σοι τὸ χωρίον, δικάσεται δὲ πρότερον ὑπὲρ
*we-will-sell to-you the farm will-go-to-law and first for*
τούτων πρός σε ὁ δεσπότης, ἐάνπερ τὴν διάνοιαν ὑγιαίνῃ.
*these-things with you the master if-at-least the mind he-be-sound*

7

## Δερκύλος Ὀπώρᾳ

*Dercylus to-Opora*

Οὐχ ὅτι καλὴ λέγεις εἶναι οὐδ᾽ ὅτι πολλοὺς ἐραστὰς
*not because beautiful you-say to-be nor because many lovers*
λέγεις ἔχειν, διὰ τοῦτο ἐπαινῶ σε· ἴσως μὲν γάρ σε
*you-say to-have for this I-praise you perhaps indeed for you*
ἐκεῖνοι διὰ τὸ εἶδος θαυμάζουσιν, ἐμὲ δὲ ἀρέσκεις διὰ
*they because-of the form admire me but you-please because-of*
τὸ ὄνομα, καί σε οὕτως ὡς καὶ τὴν γῆν τὴν πατρῴαν
*the name and you so as also the land the ancestral*

ἐπαινῶ, καὶ τεθαύμακα τὸν οὕτω σε καλέσαντα τῆς
*I-praise and I-have-admired the(-one) so you having-named for-the*
ἐπινοίας, ἵνα μὴ μόνοι σε περιμαίνωνται δηλονότι οἱ ἐν
*thought so-that not alone you go-mad-about clearly those in*
τῇ πόλει, ἀλλὰ γὰρ καὶ ἀγροῖκος λεώς. τῆς Ὀπώρας οὖν
*the city but for also rustic folk — of-Opora then*
καταπειράσας τί ἀδικῶ; ἐπεὶ τά τε ἄλλα καὶ ἐφολκὸν
*having-made-trial-of how do-I-wrong since the both other-things and attractive*
εἰς ἔρωτα τὸ ὄνομα, καὶ ταῦτα ἀνδρὶ γεωργίᾳ ζῶντι;
*to love the name and that for-a-man by-farming living*
ἀπέστειλα οὖν σοι τῆς ὁμωνύμου τῆς ἐν ἀγρῷ σῦκα
*I-have-sent then to-you of-the namesake the in country figs*
καὶ βότρυς καὶ τρύγα ἀπὸ ληνῶν, ἦρος δὲ ἀποπέμψω
*and grapes and must from wine-presses in-spring and I-will-send*
καὶ ῥόδα τὴν ἐκ τῶν λειμώνων ὀπώραν.
*also roses the from the meadows ripe-fruit*

8

## Ὀπώρα Δερκύλῳ

*Opora to-Dercylus*

Σὺ μὲν εἴτε σπουδάζεις ἐς τὸ ὄνομα τὸ ἐμὸν εἴτε
*you indeed whether you-are-serious about the name the mine or*
παίζεις οἶσθα δήπου αὐτός, ἐγὼ δὲ οἷς πέμπεις οὐκ
*you-joke you-know surely yourself I but by-what you-send not*
ἀξιῶ πρός με ὡραΐζεσθαι. καλὰ γάρ σου τὰ δῶρα,
*think-it-fit to me to-play-the-beau fine for your the gifts*
ἀκρόδρυα δυοῖν ὀβολοῖν καὶ ὑβριστὴς οἶνος διὰ νεότητα·
*fruits for-two obols and wanton wine because-of youth*
πίοι δ' ἂν ἡ Φρυγία αὐτόν· ἐγὼ δὲ Λέσβιον
*would-drink and — the Phrygian-woman it I and Lesbian*

πίνω καὶ Θάσιον καὶ ἀργυρίου δέομαι. ὀπώραν δὲ Ὀπώρᾳ
*drink and Thasian and of-silver have-need ripe-fruit and to-Opora*
ἀποστέλλειν αὐτόχρημα πῦρ ἐπὶ πῦρ φέρειν ἐστί. κἀκεῖνο
*to-send simply fire on fire to-carry is that-too*
δέ σε οὐ χεῖρον εἰδέναι ταύτῃ ᾗπεροῦν καὶ αὐτὴ νοῶ. τοῦ
*and you not worse to-know in-this-way in-which-very also I-myself think of-the*
γὰρ χρηματίζεσθαι παρὰ τῶν βουλομένων μοι προσιέναι
*for to-make-money from those wishing to-me to-approach*
καὶ τὸ ὄνομα αἴτιον· παιδεύει γάρ με ὅτι καὶ τὸ κάλλος
*also the name cause teaches for me that also the beauty*
τῶν σωμάτων ὀπώρᾳ ἔοικεν. ἕως οὖν ἀκμάζει, καὶ τὴν
*of-the bodies ripe-fruit resembles while then it-is-in-its-prime also the*
ὑπὲρ αὐτοῦ χάριν προσῆκόν ἐστιν ἀνταπολαμβάνειν· ἐὰν
*for it gratitude fitting it-is to-receive-in-return if*
δὲ ἀπορρεύσῃ, τί ἂν ἄλλο εἴη τὸ ἡμέτερον σῶμα ἢ
*but it-flow-away what — else would-be the our body than*
δένδρον καρπῶν ἅμα καὶ φύλλων γυμνόν; καίτοι γε
*a-tree of-fruits at-once and of-leaves bare and-yet at-least*
ἐκείνοις μὲν ἡ φύσις δίδωσιν ἀναθῆλαι, ἑταίρας δὲ ὀπώρα
*to-them indeed the nature gives to-bloom-again of-a-courtesan but ripeness*
μία. δεῖ τοίνυν ἐντεῦθεν ταμιεύεσθαι πρὸς τὸ γῆρας.
*one it-is-needful therefore from-this to-lay-up for the old-age*

9

## Χρέμης Παρμένωνι

*Chremes to-Parmenon*

Ὀψὲ ἔμαθον ὅτι μοι συνεβούλευες καλῶς παιδεύων με
*late I-learned that to-me you-were-advising well teaching me*
ἀποδιδράσκειν τὰς ἑταίρας· λαβεῖν γὰρ κεχήνασι καὶ
*to-run-away-from the courtesans to-take for they-gape and*

προσποιοῦνται φιλεῖν καὶ ἀποκλείουσι συνεχῶς, καὶ τὸ
*pretend to-love and shut-out continually and the*
πάντων μοι βαρύτατον, πρὶν ὑπερπλησθῆναι καὶ γενέσθαι
*of-all to-me heaviest before to-be-overfilled and to-become*
διακορεῖς οὐ βούλονται συγκαθεύδειν, ἀλλὰ ἀκκίζονται
*sated not they-wish to-sleep-with-(one) but are-coy*
καὶ θρύπτονται, εἶτα μυστιλῶνται πάλιν, καὶ λάθρα μὲν
*and give-themselves-airs then dip-bread again and secretly indeed*
ἀναλοῦσι πάντα καὶ καταπίνουσιν ὑπὲρ τοὺς ἐργαστῆρας
*they-spend all and swallow beyond the laborers*
τοὺς ἐν ἀγρῷ, παρόντων δὲ ἡμῶν ὡραΐζονται. ἐγὼ δὲ
*the in country present but us they-preen I and*
κατὰ χειρὸς ποιῶ πάντα καὶ σπεύδω καταλαβεῖν ἐς
*by hand do everything and hasten to-take into*
δύο τὰ σκέλη ἄρας καὶ ὑποστρέφειν ἐπὶ τὰς αἶγας
*two the legs having-lifted and to-turn-back to the goats*
πάλιν. ἐμέλλησα δ' ἂν τὴν κάκιστα ἀπολουμένην
*again I-would-have-been-about and — the in-the-worst-way to-be-going-to-perish*
Θηβαΐδα αὐλουμένην πρός με ἀράμενος μέσην εἶτα
*Thebais piping to me having-lifted by-the-middle then*
ῥίψας εἰς τὸ κλινίδιον ἔχεσθαι τῆς σπουδῆς. ἀπόλοιτο δὲ
*having-thrown onto the little-couch to-hold-to the business may-be-perish and*
ὁ στρατιώτης ὁ διακωλύσας με· Θρασυλέων, οἶμαι, ἦν
*the soldier the(-one) having-hindered me Thrasyleon I-think was*
ὄνομα αὐτῷ ἢ ἄλλο τι τοιοῦτον συμπεπλεγμένον θηρίῳ.
*name to-him or other some such compounded with-a-beast*

10

## Φιλέριφος Σιμύλῳ

*Philiriphus to-Simylus*

Πέπυσμαί σου τὸν ὗν εἶναι λάγνην. τί οὖν αὐτὸν οὐ
*I-have-learned your the boar to-be lustful why then him not*
βίᾳ συλλαβὼν τομίαν εἰργάσω, ὥσπερ εἰώθαμεν τοὺς
*by-force having-seized a-gelding did-you-make as we-are-wont the*
τράγους ἡμεῖς; τοῦτο γάρ τοι καὶ τὰ ζῷα ἀναπείθει
*he-goats we this for surely also the animals persuades*
ἡσυχίαν τε ἔχειν καὶ σωφρονεῖν εὖ μάλα. εἰμὶ δὲ ἐγὼ
*quiet both to-keep and to-be-temperate well very I-am and I*
περὶ ταῦτα δήπου δεινός· ἀποφανῶ γὰρ παραχρῆμα
*about these-things surely clever I-will-show for at-once*
ὁλόκληρον, σάξας ἁλῶν καὶ ἐπαλείψας πίτταν. εἶτα
*whole having-stuffed with-salt and having-smeared-on pitch then*
ὑγιεινότερος ἔσται κρότωνος δήπου καὶ κολοκύντης,
*healthier he-will-be than-a-tick surely and than-a-gourd*
καὶ ἐρῶν παύσεται καὶ ἐπιτρίβων σοι τὴν οὐσίαν.
*and from-loving will-stop and from-wearing-away for-you the property*
ἐνόρχην δὲ ἀκόλαστον ὑγιαίνων τρέφοι τίς ἄν;
*uncastrated and licentious being-in-his-senses would-rear who —*

*Lamprias and Tryphe tease each other over a hare so scrawny it vanished once skinned. Callippides urges his neighbor Cnemon to be gentler and invites him to the sacrifice to Pan, and Cnemon answers that he hates mankind, envies Perseus the Gorgon's head, and will not come. Dercylus congratulates Aeschreas on his new wealth, Demylus pities Laches for leaving the farm for the sea, Mormias threatens to disown his son, who brought home a pipe-girl as his bride, unless he works the land, and Phaedrias reminds Sthenon that the farm grows justice and temperance, and that farmers too have their wisdom.*

11

## Λαμπρίας Τρύφῃ

*Lamprias to-Tryphe*

Ἀγαθὰς διώκειν οἱ νεανίσκοι τρέφουσι κύνας, δρομικώτερον
*good to-chase the young-men keep dogs swifter*
δὲ λαγὼν οὐδὲ ἀσαρκότερον οὐδεπώποτε ἐθεασάμην· θαῦμα
*but hare nor leaner never-yet I-saw a-wonder*
γὰρ ὅπως καὶ κατέλαβον αὐτόν· ἐπεὶ γὰρ ἐδάρη καὶ
*for how even they-caught it when for it-was-flayed and*
τὸ δέρμα ἀπεδύσατο, φανερὸς τηνικαῦτα ἐγένετο, μᾶλλον
*the skin it-put-off visible then it-became rather*
δέ (οὐ γὰρ ὀρθῶς λέγω) ἀφανὴς ἐστι νῦν ἔτι πλέον. σὺ
*but not for rightly I-say invisible it-is now still more you*
δέ, ὦ Τρύφη, κιχλίζουσα παῦσαι πρός με· ἐὰν γάρ σε, ὦ
*and O Tryphe giggling stop to me if for you O*
κακόδαιμον, ὁ πατὴρ ἴδῃ, λήψῃ τι πάντως κακόν.
*wretch the father sees you-will-get something surely evil*
ἐγὼ δὲ αὐτὸν ὑποδέδοικα καίτοι παρόντα ὄντα· σὺ
*I and him am-somewhat-afraid-of although present being you*
δὲ οὐκ οἶδα ὅπως διατέθρυψαι καὶ καταφρονεῖς αὐτοῦ.
*and not I-know how have-become-spoiled and despise him*

12

## Τρύφη Λαμπρίᾳ

*Tryphe to-Lamprias*

Προσπατταλεύσομεν, ὦ Λαμπρία, τοῦ λαγὼ τὴν δοράν,
*we-will-nail-up O Lamprias of-the hare the hide*
ἵνα σοι τῶν κυνηγεσίων ἄγαλμα ᾖ τοῦτο κατὰ
*so-that for-you of-the hunts an-ornament it-may-be this according-to*
τοὺς μεγάλους ἐκείνους δήπου θηρευτάς· ἔσται δὲ καὶ τὸ
*the great those surely hunters will-be and also the*
σὸν εὔθηρον ἀνάγραπτον. πότερον δὲ αὐτὸς ᾔρηκας ἢ
*your good-hunting recorded whether but yourself you-caught-it or*
δῶρον εἴληφας; πῶς δὲ καὶ ὤφθη τὴν ἀρχὴν διὰ
*as-a-gift you-have-received how and even was-it-seen at-the first because-of*
σμικρότητα; εὔρινοι ἄρα ὄντως ἦσαν αἱ κύνες· οὐ γὰρ
*smallness keen-scented then truly were the dogs not for*
ἦν αὐτὸν ἰδεῖν, ἀλλ᾽ ᾔσθοντο αὐτοῦ. σὺ δὲ ἐξ οὗ
*it-was-possible it to-see but they-perceived it you and from when*
θηρᾶν ἤρξω, γέγονας ἡμῖν αὐτόχρημα Ἱππόλυτος. ὅρα δὴ
*to-hunt you-began have-become to-us outright a-Hippolytus see indeed*
τὴν Ἀφροδίτην μὴ καὶ σοὶ διὰ τὴν ὑπεροψίαν μηνίσῃ.
*— Aphrodite lest also with-you because-of the disdain she-be-wroth*

13

## Καλλιππίδης Κνήμωνι

*Callippides to-Cnemon*

Ἀγροίκου βίου τά τε ἄλλα ἐστὶ καλὰ καὶ δὴ καὶ
*of-rustic life the both other-things are fine and indeed also*
τὸ ἥμερον τοῦ τρόπου· ἡ γὰρ ἡσυχία καὶ τὸ ἄγειν
*the gentleness of-the manner the for quiet and the to-have*

σχολὴν τοῖς τῆς γῆς καλὴν πραότητα ἐνεργάζεται.
*leisure for-those of-the land fine mildness produces*
σὺ δὲ οὐκ οἶδ᾽ ὅπως ἄγροικος εἶ καὶ γείτοσιν οὐκ
*you but not I-know how boorish are and to-neighbors not*
ἀγαθὸς πάροικος. βάλλεις οὖν ἡμᾶς ταῖς βώλοις καὶ ταῖς
*good neighbor you-pelt then us with-the clods and the*
ἀχράσι καὶ μέγα κέκραγας ἰδὼν ἄνθρωπον ὡς διώκων
*wild-pears and loudly you-have-shouted having-seen a-man as chasing*
λύκον καὶ ἀργαλέος εἶ καὶ τοῦτο δὴ τὸ λεγόμενον
*a-wolf and troublesome you-are and this indeed the saying*
ἁλμυρὸν γειτόνημα. ἐγὼ δὲ εἰ μὴ πατρῷον ἀγρὸν
*a-briny neighborhood I but if not ancestral farm*
ἐγεώργουν, ἄσμενος ἂν αὐτὸν ἀπεδόμην φυγῇ φοβεροῦ
*I-farmed gladly — it I-would-have-sold in-flight from-a-fearsome*
γείτονος. ἀλλ᾽ ὦ βέλτιστε Κνήμων, τὸ σκαιὸν τοῦ τρόπου
*neighbor but O best Cnemon the clumsiness of-the manner*
κατάλυσον, μηδέ σε ὁ θυμὸς ἐς λήθην προαγέτω, μὴ
*dissolve nor you the temper into oblivion let-it-lead lest*
καὶ μανεὶς σεαυτὸν λάθῃς. ταῦτά σοι φίλα
*even having-gone-mad yourself you-escape-the-notice-of these-things to-you friendly*
παρὰ φίλου παραγγέλματα ἔστω καὶ ἴαμα τοῦ τρόπου.
*from a-friend precepts let-them-be and a-remedy of-the manner*

14

## Κνήμων Καλλιππίδῃ

*Cnemon to-Callippides*

Ἔδει μὲν μηδὲν ἀποκρίνασθαι· ἐπεὶ δὲ εἶ περίεργος
*I-ought indeed nothing to-have-answered since but you-are meddlesome*
καὶ βιάζῃ με ἄκοντά σοι προσδιαλέγεσθαι, τοῦτο γοῦν
*and force me unwilling with-you to-converse this at-least*

κεκέρδαγκα τὸ δι᾽ ἀγγέλων σοι λαλεῖν, ἀλλὰ μὴ πρὸς
*I-have-gained the through messengers to-you to-talk but not to*
αὐτόν σε. ἔστω σοι τοίνυν ἡ ἀπὸ Σκυθῶν λεγομένη
*yourself you let-it-be to-you therefore the from Scythians so-called*
ἀπόκρισις αὕτη. ἐγὼ μαίνομαι καὶ φθονῶ καὶ μισῶ τὸ τῶν
*answer this I am-mad and envy and hate the of-the*
ἀνθρώπων γένος. ἔνθεν τοι καὶ βάλλω τοὺς ἐσφοιτῶντας
*men race whence surely also I-pelt those coming*
ἐς τὸ χωρίον καὶ βώλοις καὶ λίθοις. Μακάριον δὲ
*into the farm both with-clods and with-stones blessed and*
ἥγημαι τὸν Περσέα κατὰ δύο τρόπους ἐκεῖνον, ὅτι τε
*I-consider — Perseus in two ways that-one because both*
πτηνὸς ἦν καὶ οὐδενὶ συνήντα, ὑπεράνω τε ἦν τοῦ
*winged he-was and no-one met above both he-was the*
προσαγορεύειν τινὰ καὶ ἀσπάζεσθαι. ζηλῶ δὲ αὐτὸν καὶ
*to-address anyone and to-greet I-envy and him also*
τοῦ κτήματος ἐκείνου εὖ μάλα, ᾧ τοὺς συναντῶντας
*the possession that well very with-which those meeting*
ἐποίει λίθους· οὗπερ οὖν εἴ μοί τις εὐμοιρία κατατυχεῖν
*he-made stones which then if to-me some good-fortune to-get*
ἐγένετο, οὐδὲν ἂν ἦν ἀφθονώτερον λιθίνων
*had-happened nothing — would-have-been more-abundant than-stone*
ἀνδριάντων, καὶ σὲ δ᾽ ἂν εἰργασάμην τοῦτο πρῶτον. τί
*statues and you too — I-would-have-made this first what*
γὰρ παθὼν ῥυθμίζεις με καὶ πρᾷον ἀποφῆναι γλίχῃ
*for having-suffered do-you-reform me and mild to-render you-desire*
οὕτως ἐχθρὰ πᾶσι νοοῦντα; ἔνθεν τοι καὶ τοῦ χωρίου
*so hostile-things to-all thinking whence surely also of-the farm*
τὸ παρὰ τὴν ὁδὸν ἀργὸν εἴασα καὶ τοῦτό μοι τῆς γῆς
*the-part beside the road idle I-left and this for-me of-the land*
χῆρόν ἐστι καρπῶν. σὺ δὲ ἕνα σεαυτὸν τῶν ἀναγκαίων
*bare is of-fruits you but one yourself of-the kin*

ἀποφαίνεις, καὶ σπεύδεις με φίλον ἔχειν μηδὲ ἐμαυτοῦ
*make-out and hasten me as-friend to-have not-even of-myself*
φίλον ὄντα. τί γὰρ καὶ παθών εἰμι ἄνθρωπος;
*friend being what for even having-suffered am-I a-man*

15

## Καλλιππίδης Κνήμωνι
*Callippides to-Cnemon*

Σὺ μὲν τῶν ἀποφράδων διαφέρεις οὐδέν, οὕτως ἄγριος
*you indeed from-the unlucky-days differ in-nothing so savage*
ὢν καὶ μονήρης τὸν τρόπον, δεῖ δέ σε ὅμως
*being and solitary in-the manner it-is-needful and you nevertheless*
καὶ μὴ βουλόμενον ἥμερον ἡμῖν γενέσθαι, καὶ ταῦτα
*even not wishing gentle to-us to-become and that*
γειτνιάσεως αἰδοῖ καὶ θεῶν ὁρίων τιμῇ, οἵπερ
*of-neighborliness out-of-respect and of-gods of-boundaries out-of-honor who-indeed*
οὖν εἰσι κοινοί. θύω τοίνυν τῷ Πανὶ καὶ Φυλασίων
*then are common I-sacrifice therefore — to-Pan and of-Phylasians*
τοὺς μάλιστα ἐπιτηδείους ἐς τὴν ἱερουργίαν παρακαλῶ.
*those most suited to the rite I-invite*
ἐν δὴ τούτοις καὶ σὲ ἀφικέσθαι βουλοίμην ἄν, σὺ
*among indeed these also you to-come I-would-wish — you*
δὲ καὶ ἐμπιὼν καὶ κοινωνήσας σπονδῶν ἔσῃ τι
*and both having-drunk and having-shared libations will-be somewhat*
καὶ πραότερος· ὁ γάρ τοι Διόνυσος φιλεῖ τὰς μὲν
*also milder — for surely Dionysus loves the indeed*
ὀργὰς μαραίνειν τε καὶ κατακοιμίζειν, τὰς δὲ εὐφροσύνας
*angers to-wither both and to-lull-to-sleep the and merriments*
ἐγείρειν. ἔσται δέ σοι ὁ αὐτὸς οὗτος θεὸς καὶ Παιὼν καὶ
*to-rouse will-be and to-you the same this god also Paean and*

ἀπολύσει σε τῆς ἀκράτου χολῆς, οἴνῳ σβέσας τὸ
*will-release you from-the unmixed bile with-wine having-quenched the*
τοῦ θυμοῦ ὑπέκκαυμα. καὶ αὐλητρίδος δὲ ἀκούσας ἴσως, ὦ
*of-the temper tinder and a-pipe-girl too having-heard perhaps O*
Κνήμων, καὶ ἐς ᾠδὴν ἐμπεσὼν καὶ ἐς μέλος ὑπολισθὼν
*Cnemon and into song having-fallen and into tune having-slipped*
ἕξεις τι καὶ γαληνὸν ἐν τῇ ψυχῇ. οὐ χεῖρον δ' ἂν εἴη
*you-will-have something also calm in the soul not worse and — it-would-be*
οἰνωμένον σε καὶ μασχάλην ἆραι. εἰ δέ που καὶ μεθύων
*wine-flushed you also an-armpit to-raise if but somewhere even being-drunk*
κόρῃ περιπέσοις ἄβραν ἀνακαλούσῃ ἢ τὴν τίτθην ὑπολειφθεῖσαν εὑρεῖν πειρωμένῃ, τάχα πού
*a-girl you-should-fall-in-with her-maid calling-for or the nurse left-behind to-find trying perhaps somewhere*
τι καὶ θερμὸν δράσεις καὶ νεανικὸν ἔργον. οὐδ' ἂν
*something also hot you-will-do and youthful deed nor —*
ἀπεοικὸς εἴη καὶ τοιοῦτό τι πραχθῆναι ἐν τῇ τοῦ
*unlikely would-it-be also such something to-be-done at the —*
Πανὸς θυσίᾳ· καὶ γάρ τοι κἀκεῖνος ἐρωτικὸς εὖ μάλα
*of-Pan sacrifice and for surely he-too amorous well very*
καὶ οἷος ἐπανίστασθαι παρθένοις. λῦσον δὲ καὶ τὴν ὀφρὺν
*and such-as to-rise-up-at maidens relax and also the brow*
καὶ τὸ σκυθρωπὸν τοῦτο καὶ σύννεφες χάλασον εὐθυμίᾳ
*and the sullenness this and clouded loosen with-cheerfulness*
φίλου ταῦτα παραίνεσις νοοῦντός σοι ἀγαθά.
*of-a-friend these-things advice thinking for-you good-things*

16

## Κνήμων Καλλιππίδῃ

*Cnemon to-Callippides*

Ἵνα σοι καὶ λοιδορήσωμαι ταῦτ᾽ ἀντεπιστέλλω καὶ ἵν᾽
*so-that you also I-may-revile these-things I-write-back and so-that*
ἀφῶ τι τῆς ὀργῆς ἐς σέ· μάλιστα γὰρ ἐδεόμην
*I-may-let-loose some of-the anger on you most for I-wished-you*
παρόντος, ἵνα σου καὶ αὐτόχειρ γένωμαι. τί γάρ με
*present so-that of-you also murderer I-might-become why for me*
διαφθεῖραι γλίχῃ, τί δὲ σπεύδεις ἀπολέσαι με εἰς
*to-ruin do-you-desire why and hasten to-destroy me to*
ἑστίασιν καὶ θοίνην παρακαλῶν; πρῶτον μὲν γὰρ τὸ
*a-feast and banquet inviting first indeed for the*
πολλοὺς ὁρᾶν καὶ συνεῖναι πολλοῖς δεινῶς πέφρικα, φεύγω
*many to-see and to-be-with many terribly I-shudder-at I-flee*
δὲ κοινὴν θυσίαν ὡς οἱ δειλοὶ τοὺς πολεμίους, ὑφορῶμαι
*and a-common sacrifice as the cowards the enemies I-suspect*
δὲ καὶ τὸν οἶνον ὡς ἐπιβουλεῦσαι καὶ ἐπιθέσθαι γνώμῃ
*and also the wine as to-plot and to-attack the-mind*
δεινῶς καρτερόν, τοὺς δὲ θεοὺς τούς τε ἄλλους καὶ τὸν
*terribly strong the and gods the both others and —*
Πᾶνα ἀσπάζομαί τε καὶ προσαγορεύω παριὼν μόνον,
*Pan I-greet both and address passing only*
θύω δὲ οὐδέν· οὐδὲ γὰρ αὐτοὺς ἐνοχλεῖν ἐθέλω. σὺ δέ
*I-sacrifice and nothing not-even for them to-trouble do-I-wish you and*
μοι καὶ αὐλητρίδας προσείεις καὶ ᾠδάς, ὦ καταγέλαστε.
*to-me also pipe-girls you-dangle-before and songs O ridiculous*
ἐπὶ μὲν δὴ τούτοις καινῶς οὐχ ἁψαίμην σου, καλὰ δέ
*for indeed truly these-things newly not I-would-touch you fine and*
σου κἀκεῖνα, ὀρχήσασθαι καὶ ὁμιλῆσαι κόρῃ θερμότατα.
*your those-things to-dance and to-consort-with a-girl most-hotly*

σὺ μέν μοι δοκεῖς κἂν ἐς πῦρ ἅλασθαι κἂν ἐς μαχαίρας
*you indeed to-me seem even into fire to-leap even onto swords*
κυβιστῆσαι, ἐμοὶ δὲ μήτε θύων εἴης φίλος μήτε ἄλλως.
*to-tumble to-me but neither sacrificing may-you-be friend nor otherwise*

17

## Δέρκυλος Αἰσχρέᾳ

*Dercylus to-Aeschreas*

Οὐκ ἐγὼ ἔλεγον ὅτι Πλοῦτον ὁρῶντα ὀξὺ καὶ οὐ τυφλὸν
*not I said that Wealth seeing sharp and not blind*
ἀνεῦρες καὶ καταγελᾷς μου καὶ τῆς γῆς καὶ τῆς τύχης, ἐπεὶ
*you-found and you-laugh-at me and the land and the fortune since*
τῶν χρηστῶν καὶ ἐπιμέλειαν τίθεται; σὺ γοῦν ἀπεδείξω
*of-the good also care he-takes you at-least showed-yourself*
τῶν εὐδαιμόνων ἐκείνων εἶς ὤν, οὓς ἐπὶ Κρόνου
*of-the blessed those one being whom in-the-time-of Cronus*
φασὶν ἐκ τῆς γῆς αὐτόματα ἔχειν πάντα καὶ κοινωνίαν
*they-say from the earth of-their-own-accord to-have all-things and fellowship*
ἐν αὐτοῖς ἄφθονον πολιτεύεσθαι καὶ ἀφέλειαν τρόπου
*among themselves ungrudging to-live-as-citizens and simplicity of-manner*
καὶ ἕνα οἶκον οἰκεῖν τὸν ὑπ᾽ οὐρανῷ τόπον πάντα.
*and one house to-inhabit the under heaven place all*
πλουτήσαντι γοῦν σοι τίς οὕτω φιλόμωμος ἢ κακός,
*having-grown-rich at-least you who so fault-finding or bad*
ὡς ἄχθεσθαι καὶ ζηλότυπα νοεῖν; μήπω τοσαύτης κακίας
*as to-be-annoyed and jealous-things to-think not-yet with-such-great wickedness*
ἀναπλησθείη γεωργῶν ἤθη, ὡς ζηλοτυπεῖν τε εἰς
*may-be-filled of-farmers the-characters as to-be-jealous both toward*

πλοῦτον καὶ ὑπὲρ χρημάτων φρονεῖν. εἰς ἀγρίας αἶγας
*wealth and for money to-care onto wild goats*
τραπείη ταῦτα καὶ εἰς τοὺς ἐν δικαστηρίοις ῥήτορας.
*may-it-turn these-things and onto the in law-courts orators*

18

## Δημύλος Βλεψίᾳ

*Demylus to-Blepsias*

Γεωργίαν καὶ γεωργεῖν ἀπολιπὼν ὁ γείτων Λάχης
*farming and to-farm having-left the neighbor Laches*
ἐπέβη νεώς, καὶ πλεῖ τὸ Αἰγαῖόν φασι, καὶ ἄλλα πελάγη
*has-embarked-on a-ship and sails the Aegean they-say and other seas*
μετρεῖ καὶ ἐπικυματίζει καὶ λάρου βίον ζῇ καὶ ἀνέμοις
*measures and rides-the-waves and of-a-gull life lives and with-winds*
μάχεται διαφόροις· ἄκρα τε αὐτὸν ἐξ ἄκρας διαλαμβάνει,
*fights various headland and him from headland receives*
καὶ περιβλέπων ἁδρὸν κέρδος καὶ περινοῶν πλοῦτον ἀθρόον
*and looking-about-for stout gain and devising wealth all-at-once*
μακρὰ εἶπε χαίρειν αἰγιδίοις ἐκείνοις καὶ νομευτικῷ τῷ
*a-long said farewell to-the-little-goats those and pastoral the*
προτέρῳ βίῳ· γλίσχρως τε καὶ κατ᾽ ὀλίγον ἐκ τῶν ἀγρῶν
*former life meagerly both and by little from the fields*
ἀποζῆν οὐ δυνάμενος οὐδὲ ἀρκούμενος τοῖς παροῦσιν
*to-make-a-living not being-able nor content with-the present*
Αἰγυπτίους καὶ Σύρους φαντάζεται καὶ περιβλέπει τὸ
*Egyptians and Syrians he-imagines and looks-around the*
δεῖγμα καὶ πολύς ἐστι νὴ Δία τόκους ἐπὶ τόκοις λογιζόμενος
*exchange and great he-is by Zeus interests on interests reckoning*
καὶ χρήματα ἐπὶ χρήμασιν ἀριθμῶν, καὶ διαφλέγει τὴν
*and money on money counting and inflames the*

διάνοιαν αὐτοῦ καὶ ἐκκάει κέρδος ἀμφοτερόπλουν, χειμῶνας
*mind his and kindles gain on-both-voyages storms*
δὲ οὐκ ἐννοεῖ, οὐδὲ ἐναντία πνεύματα, οὐδὲ τῆς θαλάσσης
*but not he-considers nor contrary winds nor of-the sea*
τὸ ἀστάθμητον, οὐδὲ τῶν ὡρῶν τὰς ἀκαιρίας. ἡμεῖς δὲ
*the instability nor of-the seasons the untimeliness we and*
εἰ καὶ μικρὰ κερδαίνομεν μεγάλα πονοῦντες, ἀλλὰ πολὺ
*if even little we-gain great-things laboring but much*
ἡ γῆ τῆς θαλάσσης ἑδραιότερον, καὶ αὕτη πιστοτέρα
*the earth than-the sea more-stable and it more-trustworthy*
βεβαιοτέρας ἔχει τὰς παρ᾽ ἑαυτῆς ἐλπίδας.
*surer has the from herself hopes*

19

## Μορμίας Χρέμητι

*Mormias to-Chremes*

Ἐγὼ μὲν ἔθυον γάμους ὁ χρυσοῦς μάτην καὶ
*I indeed was-sacrificing-for the-wedding the golden-one in-vain and*
περιῄειν ἐστεφανωμένος οὐδὲν δέον καὶ τούς τε ἔνδον
*went-about garlanded nothing being-needful and those both within*
καὶ τοὺς ἔξω θεοὺς ἐκολάκευον, ὁ δὲ παῖς κατήγαγε μὲν
*and those outside gods I-flattered the and son brought-down indeed*
τὸ ζεῦγος ἐκ τῶν ἀγρῶν ὡς τὴν νύμφην ἐξ ἄστεος εἰς τὸ
*the yoke from the fields as the bride from town to the*
πατρῷον χωρίον ἐπανάξων, αὐλητρίδα δὲ λυσάμενος,
*ancestral farm to-be-going-to-bring-back a-pipe-girl but having-ransomed*
ἧς ἔτυχεν ἐρῶν, νύμφης στολὴν αὐτῇ περιβαλὼν
*whom he-happened to-love of-a-bride dress on-her having-put-around*
ἐπανήγαγέ μοι φάτταν ἀντὶ περιστερᾶς, φασίν,
*brought-back for-me a-wood-pigeon instead-of a-dove as-they-say*

ἑταίραν ἀντὶ νύμφης. καὶ τὰ μὲν πρῶτα αἰδουμένη
*a-courtesan instead-of a-bride and the indeed first being-modest*
κορικῶς εὖ μάλα καὶ κατὰ τὸν τῶν γαμουμένων νόμον
*maidenly well very and according-to the of-the marrying custom*
ὑπέκρυπτε τὴν τέχνην, μόλις δὲ ἀπερράγη ἡ σοφία
*she-hid the art scarcely and burst-out the cleverness*
τε αὐτῶν καὶ αἱ κατ᾽ ἐμοῦ μηχαναί. οὐ μὴν ἐς τὸ
*both their and the against me devices not however to the*
παντελές μου καταφρονήσουσιν ὥσπεροῦν πλινθίνου, ἐπεί
*utmost me they-will-despise as-though of-brick since*
τοι τὸν καλὸν νυμφίον εἰς κόρακας ἀποκηρύξω, ἐὰν
*surely the fine bridegroom to ravens I-will-disown if*
μὴ τῆς ὑπερβαλλούσης τρυφῆς παυσάμενος σὺν ἐμοὶ
*not from-the excessive luxury having-stopped with me*
ταφρεύῃ καὶ βωλοκοπῇ· τὴν δὲ νύμφην ἀποδώσομαι
*he-digs-ditches and breaks-clods the and bride I-will-sell*
κἀκείνην ἐπ᾽ ἐξαγωγῇ, ἐὰν μή τι καὶ αὐτὴ τῶν ἔργων
*her-too for export if not at-all also herself of-the works*
τῇ Φρυγίᾳ τε καὶ τῇ Θρᾴττῃ συνεπιλαμβάνῃ.
*with-the Phrygian-woman both and the Thracian-woman lend-a-hand*

20

## Φαιδρίας Σθένωνι

*Phaedrias to-Sthenon*

Φύεται μὲν ἐν τοῖς ἀγροῖς καλὰ πάντα, κεκόσμηταί τε
*grow indeed in the fields fine all-things is-adorned and*
ἡ γῆ τούτοις καὶ τρέφει πάντας· καὶ τὰ μέν ἐστι τῶν
*the land with-these and feeds all and the-ones indeed are of-the*
καρπῶν διετήσια, τὰ δὲ πρὸς ὀλίγον ἀντέχοντά ἐστι
*fruits lasting-the-year the-others and for little enduring are*

τρωκτὰ ὡραῖα· πάντων δὲ τούτων θεοὶ μὲν ποιηταί, ἡ
*dessert-fruits seasonable of-all and these gods indeed makers the*
γῆ δὲ μήτηρ ἅμα καὶ τροφὸς ἡ αὐτή. φύεται δὲ καὶ
*earth and mother at-once and nurse the same grow and also*
δικαιοσύνη καὶ σωφροσύνη, καὶ ταῦτα τῶν ἐν τοῖς ἀγροῖς
*justice and temperance and these of-the in the fields*
δένδρων τὰ κάλλιστα τῶν τε καρπῶν οἱ χρησιμώτατοι.
*trees the most-beautiful of-the and fruits the most-useful*
μὴ τοίνυν γεωργῶν καταφρόνει· ἔστι γάρ τις καὶ ἐνταῦθα
*not therefore farmers despise there-is for some also here*
σοφία, γλώττῃ μὲν οὐ πεποικιλμένη οὐδὲ καλλωπιζομένη
*wisdom with-the-tongue indeed not embroidered nor beautifying-itself*
λόγων δυνάμει, σιγῶσα δὲ εὖ μάλα καὶ δι᾽ αὐτοῦ τοῦ βίου
*of-words by-power being-silent but well very and through itself the life*
τὴν ἀρετὴν ὁμολογοῦσα. εἰ δὲ σοφώτερα ταῦτα ἐπέσταλταί
*the virtue confessing if and wiser these-things have-been-written*
σοι ἢ κατὰ τὴν τῶν ἀγρῶν χορηγίαν, μὴ θαυμάσῃς· οὐ
*to-you than according-to the of-the fields supply not wonder not*
γάρ ἐσμεν οὔτε Λίβυες οὔτε Λυδοὶ ἀλλ᾽ Ἀθηναῖοι γεωργοί.
*for we-are neither Libyans nor Lydians but Athenian farmers*

---